# Z L O M K Y   H É R A K L E I T O V Y   Ř E Č I

(Řecky resp. latinsky s kritickým aparátem)

Obsahuje všechny zlomky, které vydání Diels-Kranz uvádí jako „přímé“ (B) a některé jejich další verze.

**Používané značky**:

- Za číslem zlomku v pořadí edice Diels-Kranz je v závorce číslo zlomku v edici Ch. Kahna, pokud jej obsahuje. Řádkování se snaží respektovat myšlenkovou strukturu strukturu a nemá jiný význam. (Pouze ve zlomcích z Papyru Derveni respektujeme v přímém citátu řádkování rukopisu.)
- V hranatých závorkách [ ] je řecký text, který patrně pochází od antického autora, jenž o Hérakleitovi referuje. Z toho ještě nutně neplyne, že zbylý neoznačený text je vždy přímo Hérakleitův.
- Mezi lomenými závorkami ‹ › jsou v řeckém textu doplňky a vsuvky novodobých editorů.
- Mezi křížky † † je nečitelný, hrubě porušený nebo zcela nesrozumitelný řecký text.
- Čísla v kulatých závorkách na konci řádku uchovávajících autorů uvádějí rozsah řádků uchování zlomku v dotyčném pramenu.
- Údaje kritického aparátu začínají číslem, které odkazuje na patřičný řádek uvedeného řeckého textu. Aparát zahrnuje i některé údaje o tom, jak text čtou známé edice. Jeho cílem není úplnost, nýbrž možnost orientace ve významových variantách a základní informace o kvalitě uchování textu. Zdrojem jsou edice: Diels, Diels-Kranz, Bollack-Wismann, Kahn, Marcovich a v části případů i aparát kritických edic textů, ve kterých jsou Hérakleitovy zlomky zachovány. Odchylky našeho čtení od čtení edice Diels-Kranz uvádíme vždy.

Výběr textu a sestavení kritického aparátu: Zdeněk Kratochvíl v letech 1979 až 2003 s velkou pomocí řady přátel, mezi nimiž přispěli (v časovém pořadí) zvláště:
Štěpán Kosík, Matyáš Havrda, Radek Chlup, Tomáš Vítek, Hynek Bartoš a Vojtěch Hladký.

V letech 2007 a 2008 opraveny některé chyby (přízvuky) knižní edice a doplněny nově nalezené údaje a zlomky z Papyru Derveni.

V letech 2010 až 2018 byly začleněné úpravy související s novým čtením zčátku zlomku B 1, které se protítají také v B 2 a B 63. Viz Hladký V., Kratochvíl Z.: *Deontos:* Reconstruction and Reading of Heraclitus’ B1 and B2, in: *Ancient Philosophy* 37 (2017), p. 281-291.

Praha 2018

**B 1** (Kahn I)

τοῦ λόγου τοῦ δέοντος αἰεὶ ἀξύνετοι ἄνθρωποι γίνονται
καὶ πρόσθεν ἢ ἀκοῦσαι
καὶ ἀκούσαντες τὸ πρῶτον·

γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε,
ἀπείροισιν ἐοίκασι
πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιουτέων
ὁποῖα ἐγὼ διηγεῦμαι
κατὰ φύσιν διαιρέων ἕκαστον
καὶ φράζων ὅπως ἔχει·

τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες ποιοῦσιν
ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται.

Sextos Empeirikos, Adversus mathematicos VII, 132 = A 16 /1, 132 (1-11)
Hippolytos, Refutatio omnium haeresium IX, 9, 1 (1-9)
Aristotelés, Rhetorica III, 5; p. 1407b 11-18 = A 4 /1 (1)
Anonymi In Aristotelis artem rhetoricam commentarium 183.16-21 Rabe (Cc. in Arist. Gr. XXI.2) = A 4 /1a (1)
Kléméns Alex., Stromata V, 111, 7 (1-3)
Eusebios, Praeparatio evangelica XIII, 13, 39 (1-2)
Poseidónios, Fr. 353.30-35 (ze Sexta) Theiler (1-11)

1 τοῦ λόγου Aristotelés, Anonymi In Aristot. (2x), Kléméns, Eusebios; τοῦ δὲ λόγου Hippolytos; λόγου Sextos.

1 τοῦ δέοντος Aristotelés (starší část rkpp), Anonymi In Aristot. (2x), Kléméns, Hippolytos (?), Eusebios; τοῦδ᾽ ἐόντος Aristotelés ΑΓΣ, Sextos (většina rkpp); τοῦδε ὄντος Aristotelés (pozdní rkpp), Sextos (l rkp); ΤΟΥΔΕΟΝΤΟΣ rekonstrukce (zčásti asi i rkpp psané stále ještě kontinuálně).

1 αἰεὶ Kléméns, Eusebios IO; ἀεὶ Aristotelés, Anonymi In Aristot. (2x), Hippolytos, Eusebios ND; vynechává Sextos.

1 ἄνθρωποι γίνονται Aristotelés, Anonym. Anonymi In Aristot. (2x); γίνονται ἄνθρωποι Kléméns, Hippolytos, Eusebios, Sextos.

4 πάντων Hippolytos; Sextos vynechává.

6 καὶ Hippolytos; Sextos vynechává.

7 ὁποῖα Hippolytos; ὁκοίων Sextos.

8 κατὰ φύσιν διαιρέων ἕκαστον Sextos; διερέων κατὰ φύσιν Hippolytos.

9 ὅπως Hippolytos; ὅκως Sextos.

**B 2** (Kahn III)

1 [διὰ τούτων γὰρ ῥητῶς παραστήσας,
ὅτι κατὰ μετοχὴν τοῦ θείου λόγου πάντα πράττομέν τε καὶ νοοῦμεν,
3 ὀλίγα προδιελθὼν ἐπιφέρει·]

διὸ δεῖ ἕπεσθαι τῷ ‹ξυνῷ,

5 [τουτέστι τῷ› κοινῷ, ξυνὸς γὰρ ὁ κοινός.]

τοῦ λόγου δ᾽ ἐόντος ξυνοῦ
7 ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν.

Sextos Empeirikos, Adversus mathematicos VII, 133, 3-5 Mutschmann-J.Mau = A 16 /1,133

4-5 ‹ξυνῷ, τουτέστι τῷ› vkládá Bekker, Diels a většina editorů; nevkládá Kahn.
6 δ᾽ ἐόντος Sextos a standardní edice Hérakleita; δέοντος Kratochvíl a Hladký podle opravy na začátku B 1 u Aristotela.

**B 3** (Kahn XLVII**)**

1 [περὶ μεγέθους ἡλίου· ... Ἡράκλειτος]
εὖρος ποδὸς ἀνθρωπείου.

Aetios, Placita philosophorum II, 21, 4 = De placitis reliquiae (Stobaei excerpta), p. 890c 10 (= D. 351, 20)

[Ἡράκλειτος δὲ] ποδιαῖον.
Aetios, De placitis reliquiae (Theodoreti et Nemesii excerpta), p. 351, 12 (Theodórétos IV, 23)

[ὁ ἥλιός ἐστι τὸ μέγεθος οἷος φαίνεται.]
Diogenés Laertios, Vitae philosophorum IX, 7 = A 1, 7

**B 3a**

[... ἆρ΄ οὐ τα̣<..........>.δε[1] κόσμος
5 κατὰ̣ [ταύτ]ὰ Ἡρ̣ακλ̣ε̣τος μ.< >[2] τὰ κοινὰ
__ κατ̣<αστρέ>φ̣ει τὰ ἴδ̣<ι>α̣· ὅσπερ ἴκελ̣α̣ <ἱερῶι> λόγωι[3] λέγων <ἐφη>·]

7 ἥλι̣<ος ...>.ου[4] κατὰ φύσιν ἀνθρω<πηίου> εὖρος ποδὸς <[5]
τοὺ̣<ς οὔρου>ς̣[6] οὐχ ὑπερβάλλων· εἰ γά̣<ρ τι εὔ>ρους ἑ<ωυτοῦ>[7]
<ἐ>κ̣<βήσετα>ι,[8] Ἐρινύε̣<ς> νιν ἐξευρήσου̣<σι, Δίκης ἐπίκουροι>.

Papyrus Derveni, col. IV, 2-13

Cfr. B 94 (8-9); Pseudo-Hérakleitos, *Epist.* 1,6-7 (2); B 2, B 89 (5-6); Pseudo-Hérakleitos, *Epist.* 9,21-25 (7-9).

**B 4** (Kahn App. I)

Albertus Magnus, De Vegetalibus VI, 401

1 in delectationibus 1 rkp; irrationalis 1 rkp; indeabilis 2 rkpp; in delectabilibus 1 rkp.

Bollackova rekonstrukce řeckého textu:

βόες ὀρόβοις ἥδονται [μᾶλλον ἢ ὕδατι].

**B 5** (Kahn CXVII)

1 καθαίρονται δ᾽ ἄλλως αἵματι μιαινόμενοι,
οἷον εἴ τις εἰς πηλὸν ἐμβὰς πηλῷ ἀπονίζοιτο·
3 μαίνεσθαι δ᾽ ἂν δοκοίη, εἰ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω ποιοῦντα.
καὶ τοῖς ἀγάλμασι δὲ τουτέοισιν εὔχονται
5 οἷον εἰ τις δόμοισι λεσχηνεύοιτο,

---

[1] KPT, Betegh: τά̣[ξιν ἔχει ἐκ τῶ]ν̣δ̣ε, Bernabé: τά[σσεται διὰ τῶ]ν̣δ̣ε (Janko)
[2] KPT: μα̣[ρτυρόμενος], Bernabé: με̣[γάλα νομίζων]
[3] Bernabé (app. cr.); Betegh, Bernabé (Sider): [ἱερο]λόγῳ, KPT: [ἀστρο]λόγωι
[4] Bernabé (Tsants.): [ἑωυ]τ̣οῦ
[5] KPT, Betegh, Bernabé: [ἐστι]
[6] Betegh, Bernabé (Tsantsanoglou); KPT: τὸ μ̣[έγεθο]ς, Betegh, Bernabé: τοὺ[ς οὔρου]ς (Tsantsanoglou)
[7] Bernabé (Tsants.-Paráss.), KPT: εἰκ̣[ότας οὔ]ρους ε[ὔρους]
[8] Betegh, Bernabé; KPT: [ἑοῦ· εἰ δὲ μ]η̣΄,

οὔ τι γινώσκων θεοὺς οὐδ᾽ ἥρωας οἵτινές εἰσι.

Aristokritos, Theosophia 68 H. Erbse, Hamburg 1941, p. 184 (1-6)
Kléméns Alex., Protrepticus 50, 4 (4-5)
Kelsos u Órigena, Contra Celsum VII, 62 (4-6)
Éliás Krétský, Orationes in Gregor. Naz. 25, 15 (parafráze 1-2)
Apollónios z Tyany, Epistulae 27 (parafráze 2)

1 ἄλλως rkp, Kahn; ἄλλωι Diels (cfr. Hippolytos), vynechává Elias.
2 οἷον Aristokritos; ὁκοῖον Kelsos, Diels, Kahn.
4 τουτέοισιν Kléméns, Kelsos, Diels, Kahn; τοῦ τέοισιν rkp.
4 εὔχονται Kléméns, Kelsos, Diels, Kahn; ἔχονται Aristokritos rkp.
5 οἷον Aristokritos; ὁκοῖον Kelsos, Diels, Kahn.
5 λεσχηνεύοιτο Kléméns, Kelsos, Kahn; λεσχηνοίοιτο Aristokritos.
6 οὔ τι ... εἰσι Kléméns, Kelsos, Kahn, z Kelsa doplňuje Bywater, Diels; Aristokritos vynechává.

**B 6** (Kahn XLVIII A)

1 [δῆλον ὅτι] καὶ ὁ ἥλιος οὐ μόνον [καθάπερ Ἡράκλειτός φησιν,]
νέος ἐφ᾽ ἡμέρῃ ἐστίν,
3 ἀλλ᾽ ἀεὶ νέος [συνεχῶς.]

Aristotelés, Meteorologica II, 2, p. 355a 14

1 [Συγχωρῶν καὶ ἐπὶτούτων δηλονότι τῷ Ἡρακλείτῳ, ὃς ἔφη]
ἀεὶ καὶ τὸν ἥλιον γίνεσθαι.
Plótinos, Enneades II, 1, 2, 11

Kahn XLVIII B:
[οἱ καὶ ἁπτόμενοι ‹sc. τῆς φιλοσοφίας› μειράκια ὄντα ... πρὸς δὲ τὸ γῆρας ἐκτὸς δή τινων ὀλίγων ἀποσβέννυνται πολὺ μᾶλλον τοῦ Ἡρακλειτείου ἡλίου,
ὅσον αὖθις οὐκ ἐξάπτονται.]
Platón, Respublica VI, 498ab

**B 7** (Kahn CXII)

εἰ πάντα καπνὸς γένοιτο,
ῥῖνες ἂν διαγνοῖεν.

Aristotelés, De sensu 5, p. 443a 23

1 πάντα editoři; πάντα τὰ ὄντα Aristotelés, Robinson.
1 γένοιτο 2 rkpp, Diels, Kahn; γέγνοιτο 1 rkp.
2 ῥῖνες 1 rkp, Diels, Kahn; ὅτι ῥῖνες 2 rkpp.

**B 8** (Kahn LXXV)

τὸ ἀντίξουν συμφέρον
καὶ ἐκ τῶν διαφερόντων καλλίστην ἁρμονίαν
καὶ πὰντα κατ᾽ ἔριν γίνεσθαι.

Aristotelés, Ethica Nicomachea VII, 1, p. 1155b 4
Viz též A 1, 8 u Diogena Laertia.

**B 9** (Kahn LXXI)

ὄνους σύρματ᾽ ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν.

Aristotelés, Ethica Nicomachea X, 5, 1176a 7

1 ὄνους 2 rkp, Diels, Kahn; ὄνον 2 rkp; οἶον 2 rkp; ὄνοι Bollack a Wismann.
1 σύρματ᾽ většina rkpp; ἅρματ᾽ 1 rkp; σάρματ᾽ Lloyd-Jones.
1 ἂν ἑλέσθαι rkpp, Bekker, Diels, Kahn; ἂν ἕλοιντο Bollack a Wismann.

**B 10** (Kahn CXXIV)

συνάψιες
ὅλα καὶ οὐχ ὅλα, συμφερόμενον διαφερόμενον,
συνᾷδον διᾷδον,
καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα.

Pseudo-Aristotelés, De mundo 5, 396b 20 (1-4)
Apuleius, De mundo 20 = A 5 /6 (1-4)
Stobaios, Anthologium I, 40, 360 (1-4)
Platón, Sophista 242 e2-3 (2)

1 συνάψιες 6 rkpp, Diels; συνάψειας 5 rkpp; συλλάψιες 2 rkpp, Kahn.
2 ὅλα καὶ οὐχ ὅλα 4 rkpp Diels, Kahn; οὖλα καὶ οὐκ οὖλα (a podobné verze) 10 rkpp.
2 συμφερόμενον Stobaios (1 rkp), Apuleius; συμφερόμενον καὶ Pseudo-Aristotelés, Stobaios (1 rkp), Apuleius.
3 συνᾷδον 6 rkpp, Stobaios, Apuleius; συνᾷδον καὶ 8 rkpp.

διαφερόμενον γὰρ ἀεὶ συμφέρεται,
Platón, Sophista 242 e2-3 = A 10 /1 (viz B 91)

**B 11** (Kahn LXXVI)

1 πᾶν ἑρπετὸν πληγῇ νέμεται.

Stobaios, Anthologium I, 1, 36
Pseudo-Aristotelés, De mundo 6, 401a 10
Apuleius, De mundo 36 (jen 1. část)

1 πληγῇ Stobaios, Diels (oprava De mundo podle Stobaia, cfr. A 14a), Kahn; τὴν γῆν Pseudo-Aristotelés, Bekker, Bollack.
Viz Kleanthův hymnus na Dia, C 3. 4.

**B 12** (Kahn L, CXIII B**)**

1 [Ζήνων τὴν ψυχὴν λέγει αἰσθητικὴν ἀναθυμίασιν,
καθάπερ Ἡράκλειτος.
3 βουλόμενος γὰρ ἐμφανίσαι ὅτι αἱ ψυχαὶ ἀναθυμιώμεναι
νοεραὶ ἀεὶ γίνονται,
5 εἴκασεν αὐτὰς τοῖς ποταμοῖς, λέγων οὕτως·]

ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν
7 ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ·

ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται.

Kleanthés u Areia Didyma fr. 39.2 (ed. Diels, Doxographi graeci, p. 471.4) u Eusebia, Praeparatio evangelica XV, 20, 2
(Viz též A 15 /1 u Aristotela, A 15 /3 u Aetia.)

1 αἰσθητικὴν Wellmann, Diels, Kahn; αἴσθησιν ἢ rkp.
4 νοεραὶ rkpp; νεαραὶ Meerwaldt, Marcovich; ἕτεραι Diels.
8 ψυχαὶ rkp; ‹καὶ› ψυχαὶ Capelle, Diels, Kahn.

**B 13** (Kahn LXXII)

1 [καὶ συὸς τρόπον ἐν βορβόρῳ διαιτωμένη χαίρει.]

Filón Alex., De specialibus legibus I, 148

1 [ὕες βορβόρῳ ἥδονται μᾶλλον ἢ καθαρῷ ὕδατι.]
Kléméns Alex., Stromata I, 2, 2

[δεῖ γὰρ
τὸν χαρίεντα μήτε ῥυπᾶν μήτε αὐχμεῖν μήτε βορβόρῳ χαίρειν
καθ᾿ Ἡράκλειτον.]
Athénaios, Deipnosophistae V, 6. 10 Kaibel = V, p. 178f
(Athénaios, Deipnosophistae - epitome II, 1, p. 60, 7)

1 [ὕες βορβόρῳ χαίρουσιν.]
Rekonstrukce Bollacka a Wismanna.

**B 14** (Kahn CXV = jen závěr)

1 [τίσι δὴ μαντεύεται Ἡράκλειτος ὁ Ἐφέσιος;]

νυκτιπόλοις,
3 μάγοις, βάκχοις,
λήναις, μύσταις·

5 [τούτοις ἀπειλεῖ τὰ μετὰ θάνατον, τούτοις μαντεύεται τὸ πῦρ·]

τὰ [γὰρ] νομιζόμενα κατ᾽ ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυοῦνται.

Kléméns Alex., Protrepticus 22, 2 (1-6)
Eusebios, Praeparatio evangelica II, 3, 37 (1-6)

6 μυοῦνται Kléméns, Kahn; μυεῦνται Eusebios 1 rkp, Diels; μύονται Eusebios 1 rkp; μυεῦται Eusebios 1 rkp.

**B 14a** (*Neoficiální označení, zlomek jsme našli v létě 2008*)

[ἀνθρώπω‹ν ἐν› πόλεσιν ἐπιτελέσαντες ‹τὰ ἱε›ρὰ εἶδον, ἔλασσον σφᾶς θαυμάζω μὴ γινώσκειν. οὐ γὰρ οἷόν τε ἀκοῦσαι ὁμοῦ καὶ μαθεῖν τὰ λεγόμενα. ὅσοι δὲ παρὰ τοῦ τέχνην ποιουμένου τὰ ἱερὰ, οὗτοι ἄξιοι θαυμάζεσθαι (5) καὶ οἰκτε‹ί›ρεσθαι· θαυμάζεσθαι μὲν ὅτι δοκοῦντες πρότερον ἢ ἐπιτελέσαι εἰδήσειν ἀπέρχονται ἐπιτελέσαντες πρὶν εἰδέναι οὐδ᾽ ἐπανερόμενοι ὥσπερ ὡς εἰδότες τι ὧν εἶδον ἢ ἤκουσαν ἢ ἔμαθον· ‹οἰ›κτε‹ί›ρεσθαι δὲ ὅτι οὐκ ἀρκεῖ σφιν τὴν δαπάνην προανηλῶσθαι ἀλλὰ (10) καὶ τῆς γνώμης στερόμενοι προς απέρχονται.]

11 ¯¯πρὶν μὲν τὰ ‹ἱ›ερὰ ἐπιτελέσαι ἐλπίζον‹τε›ς εἰδήσειν,
ἐπ‹ιτελέσ›αντ‹ες› δὲ στερηθέντες κα‹ὶ τῆς› ἐλπί‹δος› ἀπέρχονται.
13 τῶ‹..........›.ουντ‹...› λόγος.. ‹...›ται . ‹..›.να
¯¯. ‹ ›.ι τῆι ἑαυτοῦ ο.. ‹ μ›ητρὶ μὲν
15 ›δ' ἀδελφη‹ ›ωσειδε

Papyrus Derveni, col. 20.1-15 (ed. Gábor Betegh, *The Derveni Papyrus*, Cambridge 2004); viz Z. Kratochvíl, V. Hladký, K. Erhart: *Předběžná zpráva o Papyru Derveni*, Vesmír 2008/10, s. 692-4.

11 ἐλπίζον‹τε›ς Betheg, Bernabé, Tsantsanoglou; ἐλπίζουσιν Janko

**B 15** (Kahn CXVI)

1 [ὑπόμνημα τοῦ πάθους τούτου μυστικὸν φαλλοὶ
κατὰ πόλεις ἀνίστανται Διονύσῳ·]

3 εἰ μὴ [γὰρ] Διονύσῳ
πομπὴν ἐποιοῦντο καὶ ὕμνεον ᾆσμα αἰδοίοισιν,
5 ἀναιδέστατα εἴργαστ᾽ ἄν [φησὶν Ἡράκλειτος]·
ὡὑτὸς δὲ Ἅιδης καὶ Διόνυσος,
7 ὅτεῳ μαίνονται καὶ ληναΐζουσιν.

[οὐ διὰ τὴν μέθην τοῦ σώματος, ὡς ἐγὼ οἶμαι,
9 τοσοῦτον, ὅσον διὰ τὴν ἐπονείδιστον τῆς ἀσελγείας ἱεροφαντίαν.]

Kléméns Alex., Protrepticus 34, 5 (1-9)
Plútarchos, De Iside et Osiride 362a (6-7)

5 εἴργαστ᾽ ἄν Heinse, Schleiermacher, Diels; εἴργασται rkp., Kahn, Marcovich, Bollack.

**B 16** (Kahn CXXII)

1 τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθοι;

Kléméns Alex., Paedagogus II, 99, 5

**B 17** (Kahn IV)

1 οὐ [γὰρ] φρονέουσι τοιαῦτα πολλοί, ὁκοίοις ἐγκυρεῦσιν,
οὐδὲ μαθόντες γινώσκουσιν,
3 ἑωυτοῖσι δὲ δοκέουσι.

Kléméns Alex., Stromata II, 8, 1

1 πολλοί rkp, většina editorů; ‹οἱ› πολλοί Bergk.

1 ὁκοίοις Bergk, Stählin (cfr. A 16 /2), Kahn; ὁκόσοι rkp, Diels, Bollack-Wismann; ὁκόσοις Gataker, Wilamowitz (cfr. Archilochos, fr. 68 Diehl, viz Hérakleitos A 16 /1.128; Diels = fr. 132. 3 West), Bywater.

1 ἐγκυρεύσιν Schuster, Diels (cfr. B 72), Stählin, Kahn; ἐγκυρσευοῦσιν rkp.

**B 18** (Kahn VII)

1 ἐὰν μὴ ἔλπηται ἀνέλπιστον, οὐκ ἐξευρήσει,
ἀνεξερεύνητον ἐὸν καὶ ἄπορον.

Kléméns Alex., Stromata II, 17, 4
Theodórétos, Graecarum affectionum curatio I, 88, 4

1 Gomperz dává ἔλπηται za ἀνέλπιστον; ἔλπηται Kléméns; ἐλπίζητε Theodórétos.
1 ἐξευρήσει Kléméns; εὑρήσετε Theodórétos.

**B 19** (Kahn XVII)

1 [ἀπίστους εἶναί τινας ἐπιστύφων Ἡράκλειτός φησιν·]
ἀκοῦσαι οὐκ ἐπιστάμενοι, οὐδ᾽ εἰπεῖν.

Kléméns Alex., Stromata II, 24, 5

**B 20** (Kahn XCVIII)

1 γενόμενοι ζώειν ἐθέλουσι μόρους τ᾽ ἔχειν,
μᾶλλον δὲ ἀναπαύεσθαι,
3 καὶ παῖδας καταλείπουσι μόρους γενέσθαι.

Kléméns Alex., Stromata III, 14, 1

**B 21** (Kahn LXXXIX)

1 θάνατός ἐστιν ὁκόσα ἐγερθέντες ὁρέομεν,
ὁκόσα δὲ εὕδοντες ὕπνος.

Kléméns Alex., Stromata III, 21, 1

2 ὕπνος rkp; ὕπαρ Marcovich; ζωή Nestle.

Diels předpokládá pokračování (viz B 26):
3 ‹ὁκόσα δὲ τεθνηκότες ζωή.›

**B 22** (Kahn VIII)

χρυσὸν οἱ διζήμενοι
γῆν πολλὴν ὀρύσσουσι
καὶ εὑρίσκουσιν ὀλίγον.

Kléméns Alex., Stromata IV, 4, 2
Theodórétos, Graecarum affectionum curatio I, 88

**B 23** (Kahn LXIX)

Δίκης ὄνομα οὐκ ἂν ᾔδησαν,
εἰ ταῦτα μὴ ἦν.

Kléméns Alex., Stromata IV, 9, 7

1 ᾔδησαν Sylburg, Diels, Stählin, Kahn; ἔδησαν rkp, Bollack-Wismann; ἔδεισαν Hoeschel.

**B 24** (Kahn C)

ἀρηϊφάτους θεοὶ τιμῶσι καὶ ἄνθρωποι.

Kléméns Alex., Stromata IV, 16, 1
Theodórétos, Graecarum affectionum curatio VIII, 39

1 θεοὶ ... ἄνθρωποι Kléméns, οἱ θεοὶ ... οἱ ἄνθρωποι Theodórétos.

**B 25** (Kahn XCVI)

μόροι [γὰρ] μέζονες μέζονας μοίρας λαγχάνουσι.

Kléméns Alex., Stromata IV, 49, 3
Hippolytos, Refutatio omnium haeresium V, 8, 42
Theodórétos, Graecarum affectionum curatio VIII, 39

1 μόροι Kléméns, Hippolytos, většina editorů; μόνοι Theodórétos.

**B 26** (Kahn XC)

1 ἄνθρωπος ἐν εὐφρόνῃ φάος ἅπτεται,
ἑαυτῷ ἀποθανών, ἀποσβεσθεὶς ὄψεις·
3 ζῶν δέ ἅπτεται τεθνεῶτος
εὕδων, ἀποσβεσθεὶς ὄψεις·
5 ἐγρηγορὼς ἅπτεται εὕδοντος.

Kléméns Alex., Stromata IV, 141, 2

1 εὐφρόνῃ Sylburg, Diels, Kahn; εὐφροσύνῃ rkp.
2 ἀποθανών rkp; vynechávají Diels i Kahn; ἑαυτῷ ἀποθανών vynechává Bywater.
4 ἀποσβεσθεὶς ὄψεις rkp; vynechávají Diels i Kahn (údajně jako duplicitu).

**B 27** (Kahn LXXXIV)

1 ἀνθρώπους μένει ἀποθανόντας
ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέουσιν.

Kléméns Alex., Stromata IV, 144, 3
Theodórétos, Graecarum affectionum curatio VIII, 41

1 ἀποθανόντας Kléméns ve Strómateis, Diels, Kahn; τελευτήσαντας Kléméns v parafrázi v Protreptiku 22, 1; ἀποθνήσκοντας Theodórétos.

**B 28** (Kahn LXXXV, LXXXVII)

1 δοκέοντα γὰρ ὁ δοκιμώτατος γινώσκει, φυλάσσει· [καὶ μέντοι καὶ]

2 Δίκη καταλήψεται ψευδῶν τέκτονας καὶ μάρτυρας.

Kléméns Alex., Stromata V, 9, 3

1 δοκέοντα Schleiermacher, Diels, Kahn; δοκεόντων rkp, Bergk, Bywater, Gomperz aj.
1 γινώσκει, φυλάσσει Diels, Kahn; γινώσκει φυλάσσειν rkp, Stählin, Schuster, Heidel, Gomperz; γινώσκειν φυλάσσει Schleiermacher, Bollack a Wismann.

**B 29** (Kahn XCVII)

1 αἱρεῦνται [γάρ, φησίν,] ἓν ἀντὶ ἁπάντων οἱ ἄριστοι,
κλέος ἀέναον θνητῶν·
3 οἱ δὲ πολλοὶ κεκόρηνται ὅκωσπερ κτήνεα.

Kléméns Alex., Stromata V, 59, 4-5

1 ἓν ἀντὶ ἁπάντων Cobet podle Klémentových Strom. IV, 50, 2, Diels, Kahn; ἓν ἀντὶ πάντων Stählin (i Strom. IV, 50, 2); ἐναντία πάντων rkp.
3 ὅκωσπερ Bernays, Diels, Kahn; ὅπως rkp.

[Ἰνδῶν οἱ φιλόσοφοι Ἀλεξάνδρῳ λέγουσι τῷ Μακεδόνι·
σώματα μὲν μετάξεις ἐκ τόπου εἰς τόπον,
ψυχὰς δ᾽ ἡμετέρας οὐκ ἀναγκάσεις ποιεῖν ἃ μὴ βουλόμεθα.
πῦρ ἀνθρώποις μέγιστον κολαστήριον· τούτου ἡμεῖς καταφρονοῦμεν.
κἀντεῦθεν Ἡράκλειτος]
1 ἓν ἀντὶ πάντων κλέος ᾑρεῖτο,
τοῖς δὲ πολλοῖς παραχωρεῖν [ὁμολογεῖ]
3 κεκορῆσθαι ὅκωσπερ κτήνεσι.
Kléméns Alex., Stromata IV, 50, 1-2
(Citát o Indech uvádí též Kalanos u Filóna Alex., Quod omnis probus liber sit 96 = VI, p. 27)

**B 30** (Kahn XXXVII)

1 κόσμον, τὸν αὐτὸν ἁπάντων,
οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν,
3 ἀλλ᾽ ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται
πῦρ ἀείζωον
5 ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα.

Chrýsippos (Physika, fragment 590.5 von Arnim) u Klémenta Alex., Stromata V, 104, 2 (1-5)
Alexandros u Simplikia, In Aristotelis De caelo commentaria VII; p. 294.15 = A 10 /2a (1-3)
Alexandros u Simplikia, In Aristotelis De caelo commentaria VII; p. 294.22 = A 10 /2a (1-3)
Alexandros u Simplikia, In Aristotelis De caelo commentaria VII; p. 294.4-5 = A 10 /4 (5)
Plútarchos, De animae procreationis in Timaeo 5, p. 1014a (1-2)

Iústínos, Apologia I, 60, 8 Krüger (4)
Olympiodóros, in Phaedonem 237,7 Norvin (5)
Viz A 10 /6 u Aetia.

1 κόσμον τόνδε
2 οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν,
3 ἀλλ' ἦν ἀεί.
Alexandros u Simplikia, In Aristotelis De caelo commentaria VII; p. 294.15 = A 10 /2a

1 ὁ τοιοῦτος κόσμος
οὐκ ἤρξατό ποτε,
3 ἀλλ᾽ ἦν ἀεί.
Alexandros u Simplikia, In Aristotelis De caelo commentaria VII; p. 294.22 = A 10 /2a

κόσμον τόνδε
οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν,
Plútarchos, De animae procreationis in Timaeo 5, p. 1014a

**B 31** (Kahn XXXVIII)

1 [ὅτι δὲ καὶ γενητὸν καὶ φθαρτὸν αὐτὸν εἶναι ἐδογμάτιζεν,
μηνύει τὰ ἐπιφερόμενα·]

3 πυρὸς τροπαὶ· πρῶτον θάλασσα,
θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ,

5 [δυνάμει γὰρ λέγει, ὅτι πῦρ ὑπὸ τοῦ διοικοῦντος λόγου καὶ θεοῦ
τὰ σύμπαντα δι᾽ ἀέρος τρέπεται εἰς ὑγρὸν,
7 τὸ ὡς σπέρμα τῆς διακοσμήσεως, ὃ καλεῖ θάλασσαν·
ἐκ δὲ τούτου αὖθις γίνεται γῆ καὶ οὐρανὸς καὶ τὰ ἐμπεριεχόμενα.
9 ὅπως δὲ πάλιν ἀναλαμβάνεται καὶ ἐκπυροῦται,
σαφῶς διὰ τούτων δηλοῖ·]

11 θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον
ὁκοῖος πρῶτον ἦν ἢ γενέσθαι γήν.

Chrýsippos (590.7-11) u Klémenta Alexandrijského, Stromata V, 104, 3-5

Eusebios, Praeparatio evangelica XIII, 13, 31
Viz též A 1, 7 u Diogena Laertia.

3 τροπαὶ Kléméns, Diels, Kahn; τροπὰς Eusebios.

5 ὅτι πῦρ Kléméns; ὅτι τὸ πῦρ Eusebios, Diels.

12 πρῶτον Kléméns; πρόσθεν Eusebios.

12 ἢ γενέσθαι γήν Schuster; ἢ γενέσθαι γῆ Kléméns, Diels, Kahn; ἢ γενέσθαι Eusebios; vynechavají Bollack a Wismann.

**B 32** (Kahn CXVIII)

1 ἓν
τὸ σοφὸν
3 μοῦνον
λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄνομα.

Kléméns Alex., Stromata V, 115, 1
Eusebios, Praeparatio evangelica XIII, 13, 42

**B 33** (Kahn LXVI)

1 νόμος
καὶ βουλῇ πείθεσθαι ἑνός.

Kléméns Alex., Stromata V, 115, 2
Eusebios, Praeparatio evangelica XIII, 13, 42

2 βουλῇ tradiční ed. oprava, Diels, Kahn; βουλὴ Kléméms, Eusebios (1 rkp); βουλῆ Eusebios (1 rkp).

**B 34** (Kahn II)

1 ἀξύνετοι ἀκούσαντες
κωφοῖσιν ἐοίκασι·
3 φάτις αὐτοῖσι μαρτυρεῖ
παρεόντας ἀπεῖναι.

Eusebios, Praeparatio evangelica XIII, 13, 42

Kléméns Alex., Stromata V, 115, 3
Theodórétos, Graecarum affectionum curatio I, 71

2 κωφοῖσιν Eusebios, Diels, Kahn; κωφοῖς Kléméns, Theodórétos.

3 αὐτοῖσι Eusebios (některé rkpp), Theodórétos; αὐτοῖσιν Kléméns; αὐτοῖς Eusebios (jiné rkpp).

4 ἀπεῖναι rkpp Eusebia, Theodórétos, Kranz, Kahn; ἀπιέναι rkp Klémenta, Stählin u Klémenta.

**B 35** (Kahn IX)

1 χρὴ γὰρ εὖ μάλα
πολλῶν ἵστορας φιλοσόφους ἄνδρας εἶναι·

Kléméns Alex., Stromata V, 140, 6

[ἵστωρ γὰρ πολλῶν ὁ ὄντως φιλόσοφος]
Porfyrios, De abstinentia II, 49 (Nejmenuje však Hérakleita.)

**B 36** (Kahn CII)

1 ψυχῇσιν θάνατος ὕδωρ γενέσθαι,
ὕδατι δὲ θάνατος γῆν γενέσθαι·
3 ἐκ γῆς δὲ ὕδωρ γίνεται,
ἐξ ὕδατος δὲ ψυχή.

Kléméns Alex., Stromata VI, 17, 2 (1-4)
Filón Alex., De aeternitate mundi 111 (1-2)
Hippolytos, Refutatio omnium haeresium V, 16, 4 (1)
Aristeidés Quintilianus, De musica II, 17 (1)
Iúlianos, Orationes V, 165cd (1)

1 ὕδωρ Kléméns, Hippolytos, Filón; ὑγρῇσι Quintilianus, Iúlianos, Núménios a jiní.

**B 37** (Kahn LXXII B)

1 [sues caeno,

cohortales aves pulvere vel cinere lavari.]

Collumella, De re rustica VIII, 4, 4

1 cohortales 2 rkpp; chortales 1 rkp.
2 vel cinere 1 rkp; vynechávají 2 rkpp.

**B 38** (Kahn XXIV)

1 [δοκεῖ δὲ ‹sc. Θαλῆς› κατά τινας πρῶτος ἀστρολογῆσαι ...
μαρτυρεῖ δὲ αὐτῷ καὶ Ἡράκλειτος καὶ Δημόκριτος.]

Diogenés Laertios, Vitae philosophorum I, 23 = Thalés A 1, 23

**B 39** (Kahn LXII)

1 ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω,
οὗ πλείων λόγος ἢ τῶν ἄλλων.
3 [καὶ οἱ Πριηνεῖς δὲ αὐτῷ τέμενος καθιέρωσαν τὸ Τευτάμειον λεγόμενον.
ἀπεφθέγξατο·]
5 ᾽οἱ πλεῖστοι κακοί.᾽

Diogenés Laertios, Vitae philosophorum I, 88

2 πλείων 1 rkp, Diels; πλέων 2 rkp, Kahn.

οἱ πλεῖστοι ἄνθρωποι κακοί.
Démétrios z Faléru u Stobaia, Anthologium III, 1, 172

**B 40** (Kahn XVIII)

1 πολυμαθίη νόον οὐ διδάσκει
Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην,
3 αὖτίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖον.

Diogenés Laertios, Vitae philosophorum IX, 1 = A 1, 1 (1-3)
Athénaios, Deipnosophistae XIII, 610b (1)

Gellius, Noctes Atticae, praef. 12 (1)
Kléméns Alex., Stromata I, 93, 2 (1)
Scholia in Theaetetum 179e, VI, 245 Hermann (1-2)

1 πολυμαθίη Diogenés (2 rkpp), Diels, Kahn; πολυμαθῆ Diogenés (1 rkp); πολυμαθεία Diogenés (1 rkp).

**B 41** (Kahn LIV)

1 ἓν τὸ σοφόν·
ἐπίστασθαι γνώμην †ὁτέη† κυβερνῆσαι πάντα διὰ πάντων.

Diogenés Laertios, Vitae philosophorum IX, 1 = A 1, 1
Viz též A 10 /6 u Aetia.

2 †ὁτέη† κυβερνῆσαι Conche; ὁτέη κυβερνῆσαι 2 rkp; ὁτε ἧ κυβερνῆσαι 1 rkp oprava; ὅτ᾽ ἐγκυβερνῆσαι 1rkp; ὁτέη ἐκυβέρνησε Diels, Long; ὁίκη †κυβερνῆσαι† Kahn.

**B 42** (Kahn XXI)

1 τόν τε Ὅμηρον [ἔφασκεν] ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι
καὶ ῥαπίζεσθαι,
3 καὶ ᾿Αρχίλοχον ὁμοίως.

Diogenés Laertios, Vitae philosophorum IX, 1 = A 1, 1

1 τε část rkpp, Diels, Kahn; γε část rkpp.

**B 43** (Kahn CIV)

1 ὕβριν χρὴ σβεννύναι μᾶλλον ἢ πυρκαϊήν.

Diogenés Laertios, Vitae philosophorum IX, 2 = A 1, 2

1 σβεννύναι část rkpp, Diels, Kahn; σβεννύειν část rkpp.
1 πυρκαϊήν 2 rkpp, Diels, Kahn; πυρκαϊάν 1 rkp.

**B 44** (Kahn LXV)

1 μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου, ὑπὲρ τοῦ γινομένου,
ὅκως ὑπὲρ τείχεος.

Diogenés Laertios, Vitae philosophorum IX, 2 = A 1, 2

1 ὑπὲρ τοῦ γινομένου část rkpp, Bollack, Conche; vynechává část rkpp, Diels, Kahn.

**B 45** (Kahn XXXV)

1 ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροι
ὁ πᾶσαν ἐπιπορευόμενος ὁδόν·
3 οὕτω βαθὺν λόγον ἔχει.

Diogenés Laertios, Vitae philosophorum IX, 7 = A 1, 7

1 πείρατα ἰὼν Diels, Kahn; πειραταιον část rkpp; πειρατᾶι ὄν část rkpp; πειρατέον část rkpp.
2 ἐξεύροι ὁ 2 rkpp; εὕροι ὁ 1 rkp; ἐξεύροιο Cobet, Diels, Kahn.
3 βαθὺν 1 rkp, Diels; βαθὺς většina rkpp; βαθὺ část rkpp.

**B 46** (Kahn Appendix I)

1 [τὴν τ᾽] οἴησιν ἱερὰν νόσον [ἔλεγε] καὶ τὴν ὅρασιν ψεύδεσθαι.

Diogenés Laertios, Vitae philosophorum IX, 7 = A 1, 7

**B 47** (Kahn XI)

1 μὴ εἰκῇ περὶ τῶν μεγίστων συμβαλλώμεθα.

Diogenés Laertios, Vitae philosophorum IX, 73

**B 48** (Kahn LXXIX)

1 τῷ οὖν τόξῳ ὄνομα βίος,
ἔργον δὲ θάνατος.

Etymologicum magnum, s.v. βιός (luk)
Tzetzés, Exegesis in Iliadem, p. 101 Hermann
Eustathios, In Iliadem I, 49

**B 49** (Kahn LXIII)

εἷς ἐμοὶ μύριοι, ἐὰν ἄριστος ᾖ.

Galénos, De dignitate pulsibus VIII, 773 Kühn (jen po „tisíce“)
Theodóros Prodromos, Epistulae I, 20 (p. 1240a Migne)
Olympiodóros, In Gorgiam 20, 7

1 εἷς ἐμοὶ Galénos, Cicero, Olympiodóros; εἷς Theod. Prodromos.

Uni, si esset optimus.
Symmachus, Epistulae IX, 115

**B 49a** (Kahn Appendix I)

1 ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν,
εἶμέν τε καὶ οὐκ εἶμεν.

Hérakleitos Homérikos, Allegoriae (= Quaestiones) Homericae 24, 5

1 αὐτοῖς většina rkpp, editoři; αὐτοῦ 1 rkp.
1 τε καὶ οὐκ ἐμβαίνομεν většnina rkpp, editoři; vynechává 1 rkp.
2 εἶμέν většina rkpp, editoři; ἦμέν 1 rkp.

In idem flumen bis descendimus et non descendimus.
Seneca, Epistulae VI, 6, 23, p. 58, 23 Reynolds; viz A 6 /9, B 91

**B 50** (Kahn XXXVI)

[Ἡράκλειτος μὲν οὖν φησιν εἶναι τὸ πᾶν
διαιρετὸν ἀδιαίρετον,
γενητὸν ἀγένητον,
θνητὸν ἀθάνατον,
λόγον αἰῶνα,
πατέρα υἱόν,
θεὸν δίκαιον·]

οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λόγου ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν
ἓν πάντα εἶναι,
[ὁ Ἡράκλειτός φησι.]

Hippolytos, Refutatio omnium haeresium IX, 9, 1
Viz též A 1, 8 u Diogena Laertia.

1 οὖν φησιν rkpp, Kranz; οὖν ‹ἕν› φησιν Diels.
7 δίκαιον rkpp, Kranz; δίκαιον ‹ἄδικον› Diels.
8 λόγου Bernays, Diels, Kranz, Kahn; δόγματος Hippolytos, Bergk.
9 ἕν Wendland, Diels, Kranz, Kahn; ἐν rkp.
9 εἶναι Miller, Diels, Kranz, Kahn; εἰδέναι rkp Paris.

**B 51** (Kahn LXXVIII)

οὐ ξυνιᾶσιν
ὅκως διαφερόμενον ἑωυτῷ ὁμολογέει·
παλίντροπος ἁρμονίη,
ὅκωσπερ τόξου καὶ λύρης.

Hippolytos, Refutatio omnium haeresium IX, 9, 2 (1-4)
Platón, Symposion 187ab (2-4)
Hippolytos, Refutatio omnium haeresium IX, 9, 5 (3-4)
Plútarchos, De tranquillitate animi 473f (3-4)
Plútarchos, De Iside et Osiride 369b (3-4)
Plútarchos, De animae procreationis in Timaeo 1026a (3-4)
Porfyrios, De anthro nympharum 29 (3-4)
Viz též A 1, 7 u Diogena Laertia.

2 ὁμολογέει Miller, Diels-Kranz, Kahn, Marcovich v ed. Hippolyta; ὁμολογέειν rkp; Diels připouští i ὁμολογεῖ ἓν (viz Platón, Symp. 187a); συμφέρεται (podle Platóna, Symp.

187a, Soph. 242de) Zeller, Gigon, Marcovich, Walzer, Snell, Marcovich navrhuje v edici Hérakleita, aj.

3 παλίντροπος Hippolytos, Plútarchos 437f, 1026b; παλίντονος Plútarchos 369b, Porfyrios.

τὸ ἓν [γάρ φησι]
διαφερόμενον αὐτὸ αὑτῷ συμφέρεσθαι,
ὥσπερ ἁρμονίαν τόξου τε καὶ λύρας.

Platón, Symposion 187a

[τὸ ὂν πολλά τε καὶ ἕν ἐστιν,
ἔχθρᾳ δὲ καὶ φιλίᾳ συνέχεται,]
διαφερόμενον [γὰρ] ἀεὶ συμφέρεται,

Platón, Sophista 242de

παλίντροπος [γὰρ] ἁρμονίη κόσμου,
ὅκωσπερ λύρης καὶ τόξου

Plútarchos, De tranquillitate animi 473f - 474a

παλίντονος [γάρ] ἁρμονίη κόσμου,
ὅκωσπερ λύρης καὶ τόξου
[καθ᾽ Ἡράκλειτον. καὶ κατ᾽ Εὐριπίδην
᾽οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
ἀλλ᾽ ἔστι τις σύγκρασις ὥστ᾽ ἔχειν καλῶς.᾽]

Plútarchos, De Iside et Osiride 369b

[ἡ ἁρμονία καὶ τόξου, εἰ διὰ τῶν ἐναντὶων]

Porfyrios, De antro nympharum 29

**B 52** (Kahn XCIV)

1 αἰὼν παῖς ἐστι παίζων, πεσσεύων·
παιδὸς ἡ βασιληίη.

Hippolytos, Refutatio omnium haeresium IX, 9, 3-4 (1-2)
Lúkianos, Vitarum auctio 14 = C 5 (1)

1 πεσσεύων Lúkianos, Diels, Kahn; πεττεύων rkp Hippolyta.

Τοιαύτην τινὰ παίζειν παιδιὰν τὸν ἑαυτοῦ Δία Ἡράκλειτος λέγει.
Kléméns Alex., Paedagogus I, 22, 1

**B 53** (Kahn LXXXIII)

1 πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεύς,
καὶ τοὺς μὲν θεοὺς ἔδειξε, τοὺς δὲ ἀνθρώπους,
3 τοὺς μὲν δούλους ἐποίησε, τοὺς δὲ ἐλευθέρους.

Hippolytos, Refutatio omnium haeresium IX, 9, 4 (1-3)
Plútarchos, De Iside et Osiride 370d (1)

**B 54** (Kahn LXXX)

1 ἁρμονίη γὰρ ἀφανὴς φανερῆς κρείττων.

Plútarchos, De animae procreatione in Timaeo 1026c
Hippolytos, Refutatio omnium haeresium IX, 9, 5
Hippolytos, Refutatio omnium haeresium IX, 10, 1

Plútarchův kontext:

[τῆς δὲ ψυχῆς οὐδὲν μὲν εἰλικρινὲς οὐδ᾽ ἄκρατον οὐδὲ χωρὶς ἀπολείπεται τῶν ἄλλων·]

᾽ἁρμονίη γὰρ ἀφανὴς φανερῆς κρείττων᾽

[καθ᾽ Ἡράκλειτον, ἐν ᾗ τὰς διαφορὰς καὶ τὰς ἑτερότητας ὁ μιγνύων θεὸς ἔκρυψε καὶ κατέδυσεν·

ἐμφαίνεται δ᾽ ὅμως αὐτῆς τῷ μὲν ἀλόγῳ τὸ ταραχῶδες τῷ δὲ λογικῷ τὸ εὔτακτον,

ταῖς δ᾽ αἰσθήσεσι τὸ κατηναγκασμένον τῷ δὲ νῷ τὸ αὐτοκρατές.]

**B 55** (Kahn XIV)

1 ὅσων ὄψις ἀκοὴ μάθησις [τουτέστι τὰ ὄργανα,]
ταῦτα, [φησίν,] ἐγὼ προτιμέω,
3 [οὐ τὰ ἀφανῆ προτιμήσας.]

Hippolytos, Refutatio omnium haeresium IX, 10, 1
Hippolytos, Refutatio omnium haeresium IX, 9, 5

1 ὅσων Refutationes IX,10,1, Diels (podle Refut. IX,10,1 - i když čte IX, 9, 5), Kahn; ὅσον rkp Refut. IX, 9, 5.

1-3 vsuvky označené [ ] má Refut. IX, 10, 1; nemá je Refut. IX, 9, 5, Diels, Kahn.

**B 56** (Kahn XXII)

ἐξηπάτηνται οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν
παραπλησίως Ὁμήρῳ
ὃς ἐγένετο τῶν Ἑλλήνων σοφώτερος πάντων.
ἐκεῖνόν τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν
εἰπόντες·
ὅσα εἴδομεν καὶ κατελάβομεν, ταῦτα ἀπολείπομεν,
ὅσα δὲ οὔτε εἴδομεν οὔτ᾽ ἐλάβομεν, ταῦτα φέρομεν.

Hippolytos, Refutatio omnium haeresium IX, 9, 5

6 κατελάβομεν rkp, Kahn; ἐλάβομεν Bernays, Diels.

**B 57** (Kahn XIX)

διδάσκαλος πλείστων Ἡσίοδος·
τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι,
ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν·
ἔστι γὰρ ἕν.

3 εὐφρόνην Miller, Diels, Kahn; εὐφροσύνην rkp.

Verze překladu:
1 Hésiodos, učitel většiny...

**B 58** (Kahn LXXIII)

οἱ ἰατροὶ τέμνοντες, καίοντες, πάντῃ βασανίζοντες κακῶς

τοὺς ἀρρωστοῦντας, ἐπαιτιῶνται
3 μηδὲν᾽ ἄξιον μισθὸν λαμβάνειν παρὰ τῶν ἀρρωστούντων,
ταῦτα ἐργαζόμενοι,
5 τὰ ἀγαθὰ καὶ τὰς νόσους.

Hippolytos, Refutatio omnium haeresium IX, 10, 2-3

2 ἐπαιτιῶνται rkp, Kahn; ἐπαιτέονται Bernays, Diels.

3 μισθὸν Wordsworth, Diels, Kahn; μισθῶν rkp.

4 ταῦτα rkp, Zeller, Nestle, Bollack - Wismann; ταὐτα Wendland, Wilamowitz, Sauppe, Marcovich.

Kahn čte jen:

1 οἱ ἰατροὶ τέμνοντες καίοντες [ ... ]
ἐπαιτιῶνται μηδὲν᾽ ἄξιον μισθὸν λαμβάνειν [ ... ]
ταῦτα ἐργαζόμενοι † τὰ ἀγαθὰ καὶ νόσους †.

**B 59** ( Kahn LXXIV)

1 γναφείῳ ὁδὸς
εὐθεῖα καὶ σκολιὴ

3 [ἡ τοῦ ὀργάνου τοῦ καλουμένου κοχλίου ἐν τῷ γναφείῳ
περιστροφὴ εὐθεῖα καὶ σκολιή·
5 ἄνω γὰρ ὁμοῦ καὶ κύκλῳ περιέρχεται]

μία ἐστί, [φησί,] καὶ ἡ αὐτή.

Hippolytos, Refutatio omnium haeresium IX, 10, 4

1 γναφείῳ Bernays, Diels, Kranz; γραφέων rkp, Bollack a Wismann; γνάφων Marcovich, Kahn; γναφέων Bywater; γράφων Tannery; γραφίωι Mullach.

3 γναφείῳ Bernays, Diels, Kranz; γραφείω rkp Paris, Bollack a Wismann.

**B 60** (Kahn CIII)

1 ὁδὸς ἄνω κάτω

μία καὶ ὡὐτή

Hippolytos, Refutatio omnium haeresium IX, 10, 4 (1-2)
Hippokratés, De alimento (*Peri trofés* = De nutrimento) = C 2, 45
Poseidónios, fr. 289 Theiler u Kleoméda, De motu circulari corporum caelestium, p. 112 Ziegler (1)
Plótinos, Enneades IV, 8, 1, 13 (1)
Diogenés Laertios, Vitae philosophorum IX, 1, 8 = A 1, 8 (1)
Tertullianus, Adversus Marcionem II, 28, 1 (lat)

Poseidóniova parafráze:
1 ὁδὸς γὰρ ἄνω κάτω,
[φησὶν ὁ Ἡράκλειτος,
δι᾽ ὅλης οὐσίας τρέπεσθαι καὶ μεταβάλλειν πεφυκυίας.]

**B 61** (Kahn LXX)

1 θάλασσα·
ὕδωρ καθαρώτατον καὶ μιαρώτατον·
3 ἰχθύσι μὲν πότιμον καὶ σωτήριον,
ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.

Hippolytos, Refutatio omnium haeresium IX, 10, 5

**B 62** (Kahn XCII)

1 ἀθάνατοι θνητοὶ
θνητοὶ ἀθάνατοι,
3 ζῶντες τὸν ἐκείνων θάνατον,
τὸν δὲ ἐκείνων βίον τεθνεῶτες.

Hippolytos, Refutatio omnium haeresium IX, 10, 6 (1-4)
Hérakleitos Homérikos, Allegoriae (= Quaestiones) Homericae 24 (1-4)
Maximos z Tyru, Dialexeis 4, 4 Hobein (1-2)
Maximos z Tyru, Dialexeis 41, 4 (3-4)
Kléméns Alex., Paedagogus III, 1, 5 (1-2)

Ζῶμεν τὸν ἐκείνων θάνατον,

τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον,
Filón Alex., Legum allegoriarum libri I, 108 (3-4)

**B 63** (Kahn CX)

1 ἔνθα δ᾽ ἐόντι ἐπανίστασθαι
καὶ φύλακας γίνεσθαι ἐγερτὶ ζώντων καὶ νεκρῶν.

Hippolytos, Refutatio omnium haeresium IX, 10, 6

1 ἔνθα δ᾽ ἐόντι rkp, Diels, Bollack a Wismann; †ἔνθα δ᾽ ἐόντι† Kahn; ἔνθα θεόν τιν᾽ Patin; θεὸν δεῖ Sauppe; ἔνθα δέοντι Kratochvíl a Hladký podle opravy na začátku B 1 u Aristotela.
2 φύλακας rkp, Diels, Kahn; φύλακες Bollack a Wismann.
2 ἐγερτὶ ζώντων Bernays, Diels, Kahn; ἐγερτιζώντων rkp.

**B 64** (Kahn CXIX)

3 Toto veškerenstvo řídí blesk.

[To jest, že je spravuje,
5 neboť ohni - věčnému - říká blesk.
O tomto ohni také říká, že je vědomý,
7 a že je příčinou uspořádání veškerenstva.]

1 [λέγει δὲ καὶ τοῦ κόσμου κρίσιν καὶ πάντων τῶν ἐν αὐτῷ
διὰ πυρὸς γίνεσθαι λέγων οὕτως·]

3 τάδε πάντα οἰακίζει κεραυνός.

[τουτέστι κατευθύνει,
5 κεραυνὸν τὸ πῦρ λέγων τὸ αἰώνιον.
λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ
7 καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον·]

Hippolytos, Refutatio omnium haeresium IX, 10, 7
Filodémos, De pietate 6a, p. 70 Gomperz

3 τάδε Boeder, Kahn; τὰ δὲ rkp, Diels, Kranz.

**B 65** (Kahn CXX)

1 [Ἡρακλειτείου δόξης ἑταῖρος,]

κόρον καὶ χρησμοσύνην
3 καὶ ἓν τὸ πᾶν καὶ πάντα ἀμοιβῇ [εἰσάγων.]

Filón Alex., Legum allegoriarum libri III, 7

[ὅπερ οἱ μὲν]
2 κόρον καὶ χρησμοσύνην
[ἐκάλεσαν, οἱ δ᾽ ἐκπύρωσιν καὶ διακόσμησιν,]
Filón Alex., De specialibus legibus I, 208
(Analogie k tomu: Plútarchos, De E apud Delphos 9, p. 389c)

[καλεῖ δὲ αὐτὸ]
2 χρησμοσύνην καὶ κόρον·
[χρησμοσύνη δέ ἐστιν ἡ διακόσμησις κατ᾽ αὐτόν, ἡ δὲ ἐκπύρωσις κόρος.]
Hippolytos, Refutatio omnium haeresium IX, 10, 7

**B 66** (Kahn CXXI)

1 πάντα τὸ πῦρ ἐπελθὸν
κρινεῖ καὶ καταλήψεται.

Hippolytos, Refutatio omnium haeresium IX, 10, 7

**B 67** (Kahn CXXIII)

1 ὁ θεός·
ἡμέρη εὐφρόνη,
3 χειμὼν θέρος,
πόλεμος εἰρήνη,
5 κόρος λίμος

[τἀναντία ἅπαντα·
7 οὗτος ὁ νοῦς,]

ἀλλοιοῦται δὲ ὅκωσπερ
9 ὁπόταν συμμιγῇ θυώμασιν,
ὀνομάζεται καθ᾽ ἡδονὴν ἑκάστου.

Hippolytos, Refutatio omnium haeresium IX, 10, 8
Viz též A 1, 8 u Diogena Laertia.

2 εὐφρόνη Miller, Diels, Kahn; εὔφράνθη rkp.
8 ὅκωσπερ rkp, Kahn, Bollack a Wismann; ὅκωσπερ ‹πῦρ› Diels, Kranz.

[καὶ Ζ‹εύς·›
‹συμβ›αίνει δὲ κα‹ὶ τἀ›ναντία
θε‹ῖα θε›ῖναι
νύκτα ‹ἡμέραν,
πόλεμον εἰρήνην ...› ]
Filodémos, De pietate 6 a, p. 70, Gomperz

**B 67a** (Kahn Appendix I)

1 [ita vitalis calor a sole procedens omnibus quae vivunt vitam subministrat,
cui sententiae Heraclitus adquiescens optimam similitudinem dat
3 de aranea ad animam, de tela araneae ad corpus.
sic‹ut› aranea, [ait,] stans in medio telae sentit,
5 quam cito musca aliquem filum suum corrumpit
itaque illuc celeriter currit quasi de fili persectione dolens,
7 sic hominis anima aliqua parte corporis laesa
illuc festine meat quasi impatiens laesionis corporis,
9 cui firme et proportionaliter iuncta est.]

Hisdosus Scholasticus, Ad Chalcidium In Platon. Tim. 34b, cod. Paris. l. 8624 s. XII F.2

6 persectione Diels; perfectione rkp.

**B 67a**/2

non longe hoc exemplum est a Stratone et Aenesidemo et Heraclito.
nam et ipsi unitatem animae tuentur, quae in totum corpus diffusa
et ubique ipsa, velut flatus in calamo per cavernas,
ita per sensualia variis modis emicet
non tam concisa quam dispensata

Tertullianus, De anima 14
(Viz též Sextos Empeirikos, Adversus mathematicos VII, 349 - 350; VII, 127; VII, 130.)

**B 68** (Kahn Appendix I)

[Καὶ διὰ τοῦτο εἰκότως αὐτὰ ‹sc. μυστήρια vel ἱερά› ]

ἄκεα [‹sc. τὴν μὲν τῶν φαλλῶν στάσιν - I, 11, 32› ]

[Ἡράκλειτος προσεῖπεν, ὡς ἐξακεσόμενα τὰ δεινὰ
καὶ τὰς ψυχὰς ἐξάντεις ἀπεργαζόμενα τῶν ἐν τῇ γενέσει συμφορῶν.]

Iamblichos, De mysteriis I, 11, 63

3 ἐξακεσόμενα Cobet, Parthey, Diels aj.; ἐξακούμενα Des Places, Bollack a Wismann; ἐξακουόμενα rkpp.

**B 69** (Kahn Appendix I)

[Καὶ θυσιῶν τοίνυν τίθημι διττὰ εἴδη·
τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων,
οἷα]

ἐφ᾽ ἑνὸς

[ἂν ποτε γένοιτο σπανίως, ὥς φησιν Ἡράκλειτος,
ἤ τινων ὀλίγων εὐαριθμήτων ἀνδρῶν,
τὰ δ᾽ ἔνυλα καὶ σωματοειδῆ
καὶ διὰ μεταβολῆς συνιστάμενα]

Iamblichos, De mysteriis V, 15, 12

2 ἀνθρώπων 1 rkp; ἀνθρωπω 1 rkp.

**B 70** (Kahn LVIII)

1 [Ἡράκλειτος παίδων ἀθύρματα νενόμικεν εἶναι τὰ ἀνθρώπινα δοξάσματα.]

Iamblichos, De anima (u Stobaia, Anthologium II, 1, 16), fr. 429 Schleiermacher = fr. 79 Bywatter

**B 71** (Kahn V)

1 [μεμνῆσθαι δὲ καὶ]
τοῦ ἐπιλανθανομένου, ᾗ ἡ ὁδὸς ἄγει.

Marcus Aurelius IV, 46

2 ἡ většina rkpp; οἶ 1 rkp.

**B 72** (Kahn V)

1 ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι,
[λόγῳ τῷ τὰ ὅλα διοικοῦντι,]
3 τούτῳ διαφέρονται
καὶ οἷς καθ᾽ ἡμέραν ἐγκυροῦσι,
5 ταῦτα αὐτοῖς ξένα φαίνεται

Marcus Aurelius IV, 46

4 ἐγκυροῦσι 1 rkp, Diels, Kahn; ἀκυροῦσαν 1 rkp; vynechává 1 rkp.

Pokus o rekonstrukci:
1 μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ
τούτῳ διαφέρονται·
καὶ οἷς καθ᾽ ἡμέραν ἐγκυροῦσι,
ταῦτα αὐτοῖς ξένα φαίνεται.

**B 73** (Kahn V)

οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν,
καὶ γὰρ καὶ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν.

Marcus Aurelius IV, 46

**B 74** (Kahn XIII)

[μεμνῆσθαι ... ὅτι]
οὐ δεῖ ‹ὡς› παῖδας τοκεώνων ‹sc. ποιεῖν καὶ λέγειν›,
[τουτέστι κατὰ ψιλόν, καθότι παρειλήφαμεν.]

Marcus Aurelius IV, 46

2 ‹ὡς› Casaubonus; ‹ὥςπερ› Gataker; ‹οὐδ᾿ ὡς› Schänkl.

2 τοκεώνων Rendall, Diels, Kahn; τοκέων ὧν rkp.

**B 75** (Kahn XCI)

καὶ τοὺς καθεύδοντας, [οἶμαι, ὁ Ἡράκλειτος]
ἐργάτας εἶναι [λέγει] καὶ συνεργοὺς τῶν
ἐν τῷ κόσμῳ γινομένων.

Marcus Aurelius VI, 42

**B 76** (Kahn XLI)

γῆς θάνατος ὕδωρ γενέσθαι
καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι
καὶ ἀέρος πῦρ
καὶ ἔμπαλιν.

Marcus Aurelius IV, 46

πυρὸς θάνατος ἀέρι γένεσις,

καὶ ἀέρος θάνατος ὕδατι γένεσις,
Plútarchos, De E apud Delphos 18, p. 392c

πυρὸς θάνατος ἀέρος γένεσις.
[θνῄσκει καὶ πῦρ ὥσπερ ζῷον
ἢ βίᾳ σβεννύμενον ἢ δι᾽ αὑτοῦ μαραινόμενον.]
Plútarchos, De primo frigido 10, p. 949a

ζῇ πῦρ τὸν γῆς θάνατον,
καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον,
ὕδωρ ζῇ τὸν ἀέρος θάνατον,
γῆ τὸν ὕδατος.
Maximos z Tyru, Dialexeis 12, 4, p. 489

Kranz se pokouší rekonstruovat z Maxima s přihlédnutím k B 36:
ζῇ πῦρ τὸν ὕδατος θάνατον,
ὕδωρ ζῇ τὸν πυρὸς ἢ γῆς θάνατον
γῆ τὸν ὕδατος.

**B 77** (Kahn CVIII)

[Ἡράκλειτον] ψυχῇσι [φάναι] τέρψιν
μὴ θάνατον ὑγρῇσι γενέσθαι,

[τέρψιν δὲ εἶναι αὐταῖς τὴν εἰς τὴν γένεσιν πτῶσιν, καὶ ἀλλαχοῦ δὲ φάναι]

ζῆν ἡμᾶς τὸν ἐκείνων θάνατον
καὶ ζῆν ἐκείνας τὸν ἡμέτερον θάνατον.

Núménios u Porfyria, De antro nympharum 10; frg. 35 Thedinga (1-5)
Proklos, In Platonis rem publicam commentarii II, 270. 30 Winnington-Ingram (1-2)

2 μὴ θάνατον Porfyrios (ed. TLG), Bollack a Wismann, Kahn; ἢ θάνατον Diels; καὶ θάνατον Kranz; vynechává Schuster.

[ὅπῃ φησὶν Ἡράκλειτος,] θάνατος ψυχαῖσιν
ὑγραῖσι γενέσθαι.
Proklos, In Platonis rem publicam commentarii II, 270, 30 Winnington-Ingram

(Aristeidés Quintilianus, De musica II, 17.89)

**B 78** (Kahn LV)

1 ἦθος γὰρ ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμας,
θεῖον δὲ ἔχει·

Kelsos u Órigena, Contra Celsum VI, 12
Viz také A 16 /2.

**B 79** (Kahn LVII)

1 ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος
ὅκωσπερ παῖς πρὸς ἀνδρός.

Kelsos u Órigena, Contra Celsum VI, 12

**B 80** (Kahn LXXXII)

1 εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνόν,
καὶ δίκην ἔριν,
3 καὶ γινόμενα πάντα κατ᾽ ἔριν
καὶ χρεών.

Kelsos u Órigena, Contra Celsum VI, 42 (1-4)
Aristotelés, Ethica Nicomachea 1155b 6 (3)
Viz též A 1, 8 u Diogena Laertia.

1 εἰδέναι δὲ Diels, Kranz, Kahn; εἰδέναι Schleiermacher; εἰ δὲ rkp.
2 ἔριν Schleiermacher, Diels (podle A 22), Kahn; ἐρεῖν rkp.
4 χρεών Diels podle Filodéma, De pietate; χρεώμενα rkp, Wolf, Kahn; κατα χρεώμενα Schuster; κρινόμενα Bywater; χωρεόμενα Gundermann.

[καὶ τὸν πόλεμον καὶ τὸν Δία τὸν αὐτὸν εἶναι,
καθάπερ καὶ τὸν Ἡράκλειτον λέγειν.]
Filodémos, De pietate 14, 26 (Diels podle revize Philodemi Papyri incerti, p. 81 Gomperz)

**B 81** (Kahn XXVI)

[... ἡ τῶν ῥητόρων εἰσαγωγή ...]
κοπίδων ἐστὶν ἀρχηγός.

Diogenés Stoik (= z Babylónu), fr. 105, v: Filodémos, Rhetorica I, coll. 56, 62, p. 351 Sudh.

[κοπίδας δὲ τὰς τῶν λόγων τέχνας ἄλλοι τε καὶ ὁ Τίμαιος οὕτως γράφων·]
[ὥστε καὶ φαίνεσθαι μὴ τὸν Πυθαγόραν εὑρετὴν ἀληθινὸν ὄντα]
κοπίδων
[μηδὲ τὸν ὑφ᾽ ῾Ηρακλείτου κατηγορούμενον,
ἀλλ᾽ αὐτὸν ‹τὸν› ῾Ηράκλειτον εἶναι τὸν ἀλαζονευόμενον.]

Tímaios z Tauromenia = Timaeus Historicus, fr. 132 (Volume-Jacoby-F 3b,566) v: Schol. in Eur. Hec. 131

1 γράφων Schwarz, Jacoby; γράφει rkpp; γράφωσιν rkpp.
2 εὑρετὴν ἀληθινὸν ὄντα Schwarz; εὑρόμενον 1 rkp; εὑράμενον 1 rkp; εὑρ‹ετὴν γεν›όμενον Mette; εὑρετὴν ὄντα Diels.
4 ‹τὸν› Schwarz.

**B 82** (Kahn LVI)

πιθήκων ὁ κάλλιστος αἰσχρὸς
ἀνθρώπων γένει συμβάλλειν.

Platón, Hippias maior 289a

2 ἀνθρώπων Bekker, Diels, Kahn (podle B 83); ἄλλῳ rkpp; ἀνδρῶν Gomperz.

**B 83** (Kahn LVI)

ἀνθρώπων ὁ σοφώτατος πρὸς θεὸν πίθηκος φανεῖται
[καὶ σοφίῃ καὶ κάλλει καὶ τοῖς ἄλλοις πᾶσιν;]

Platón, Hippias maior 289b

**B 84** (Kahn LII, LIII)

1 μεταβάλλον ἀναπαύεται.

2 κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι.

Plótinos, Enneades IV, 8, 1, 14

Ὁ μὲν γὰρ Ἡράκλειτος, ὃς ἡμῖν παρακελεύεται ζητεῖν τοῦτο, ἀμοιβάς (B 90) τε ἀναγκαίας τιθέμενος ἐκ τῶν ἐναντίων, ̓ὁδόν τε ἄνω κάτω (B 60) εἰπὼν καὶ μεταβάλλον ἀναπαύεται (B 84.1) καὶ κάματός ἐστι τοῖς αὐτοῖς μοχθεῖν καὶ ἄρχεσθαι (B 84.2) εἰκάζειν ἔδωκεν ἀμελήσας σαφῆ ἡμῖν ποιῆσαι τὸν λόγον, ὡς δέον ἴσως παρ᾽ αὐτῷ ζητεῖν, ὥσπερ καὶ αὐτὸς ζητήσας εὗρεν.
Plótinos, Enneades IV, 8, 1, 11-17

**B 85** (Kahn CV)

1 θυμῷ μάχεσθαι χαλεπόν·
ὅ τι γὰρ ἂν θέλῃ,
3 ψυχῆς ὠνεῖται.

Plútarchos, Amatorius 11, p. 755d (1-3)
Plútarchos, De cohibenda ira 457d (1-3)
Plútarchos, Vita Coriolanum 22, 1 (1-3)
Iamblichos, Protrepticus 21, p. 113 (1-3)
Aristotelés, Ethica Eudemia 1223b 23 (1 a 3)
Aristotelés, Politica 1315a 29 (1 a 3)
Aristotelés, Ethica Nicomachea 1105a 7 (1)

2 ὃ τι γάρ Amatorius, De cohibenda ira, Iamblichos; ὃ γάρ Vita Corriolanum; vypouští Bollack a Wismann na základě Aristotela, Ethica Eud. 1223b 22.
(Diels-Kranz: θέλῃ je archaická forma ἐοιθυμῇ)

**B 86** (Kahn LXXXVI)

1 [ἀλλὰ τὰ μὲν τῆς γνώσεως βάθη] κρύπτειν ἀπιστίη ἀγαθὴ, [καθ᾽ Ἡράκλειτόν,]

2 ἀπιστίῃ γὰρ διαφυγγάνει μὴ γιγνώσκεσθαι.

Kléméns Alex., Stromata V, 88, 5

1 ἀπιστίη ἀγαθὴ poznámka v rkp, Stählin; ἀπιστίῃ ἀγαθῇ rkp.
2 ἀπιστίῃ Stählin z Plútarcha; ἀπιστίη rkp.

[ἀλλὰ τῶν μὲν θείων τὰ πολλὰ καθ᾽ Ἡράκλειτον]
2 ἀπιστίῃ γὰρ διαφυγγάνει μὴ γιγνώσκεσθαι.
Plútarchos, Vita Coriolanum 38
2 ἀπιστίῃ rkp, Bywater, Diels; ἀπιστίη rkpp, Kahn, Bollack-Wismann; ἀπιστίῃ většina rkp; πίστιν 1 rkp.

**B 87** (Kahn LX)

1 βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι.

Plútarchos, Quomodo adolescens poetas audire debeat (= De audiendis poëtis) 28d

1 ἐπτοῆσθαι část rkpp Quomodo adolescens... 28d, Kahn, Bollack a Wismann, Xylander jako oprava 41d na základě 28d, tak i Diels, Kranz; πεποιῆσθαι ostatní rkpp Quomodo adolescens... 28d; παιδεύεσθαι rkpp De recta ratione audiendi 41a.

1 βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ παιδεύεσθαι φιλεῖ.
Plútarchos, De recta ratione audiendi 41a

**B 88** (Kahn XCIII)

1 ταὐτὸ γ᾽ ἔνι
ζῶν καὶ τεθνηκὸς
3 καὶ ‹τὸ› ἐγρηγορὸς καὶ τὸ καθεῦδον
καὶ νέον καὶ γηραιόν·
5 τάδε γὰρ μεταπεσόντα ἐκεῖνά ἐστι,
κἀκεῖνα πάλιν μεταπεσόντα ταῦτα.

Plútarchos, Consolatio ad Apollonium 10, p. 106e

(Náznak parafráze: Plútarchos, De E apud Delphos 18, p. 392cd)

1 γ᾽ ἔνι 1 rkp, Babbitt, Bollack a Wismann; τ᾽ ἔνι 2 rkpp, Diels, Kahn.
3 ‹τὸ› Reiske, Babbit, Diels, Kahn, Bollack a Wismann.
3 τὸ καθεῦδον 1 rkp, Babbitt, Kahn; καθεῦδον 3 rkpp, Diels.
5-6 τάδε ... ταῦτα vynechává Schleiermacher, Wilamowitz (považují za Plútarchovo).

**B 89** (Kahn VI)

1 τοῖς ἐγρηγορόσιν ἕνα καὶ κοινὸν κόσμον εἶναι,
τῶν δὲ κοιμωμένων ἕκαστον εἰς ἴδιον ἀναστρέφεσθαι.

Plútarchos, De superstitione 3, p. 166c

2 ἀναστρέφεσθαι 1 rkp, Bollack-Wismann, připouští Kranz; ἀποστρέφεσθαι ostatní rkpp, Diels, Kahn, Marcovich, Robinson, Conche.
(Diels a Kranz považují 2. řádek za Plútarchův text, Kahn celý zlomek.)

**B 90** (Kahn XL)

1 πυρός τε ἀνταμείβηται πάντα [φησὶν ὁ Ἡράκλειτος]
καὶ πῦρ ἁπάντων,
3 ὅκωσπερ χρυσοῦ χρήματα
καὶ χρημάτων χρυσός,

Plútarchos, De E apud Delphos 8, p. 388e

1 ἀνταμείβηται rkpp, Bollack-Wismann; ἀνταμοίβηται 1 rkp; ἀνταμοιβὴ τὰ Diels, Kahn; ἀνταμοιβὴν τὰ Sieveking.
4 ὅκωσπερ Bernardakis, Diels, Kahn; ὥσπερ 1 rkp; ἐκ ὥσπερ 1 rkp.

1 πυρὸς γὰρ ἀμοιβὴν εἶναί [φησιν Ἡράκλειτος] πάντα.
Diogenés Laertios, Vitae philosophorum IX, 8 = A 1, 8 (viz též A 1, 7)
Simplikios, In Aristotelis Physicorum libros commentaria 23, 38 (Vol. IX, p. 24. 4-8 Diels) = Theofrastos, Physicorum opiniones fr. 1, D. 475 = Kahn XLIII B = část A 5 /2

1 [Ἡράκλειτος, ...] ἀμοιβάς [τε ἀναγκαίας τιθέμενος ἐκ τῶν ἐναντίων,]
Plótinos, Enneades IV, 8, 1, 12 (viz B 84.1)

**B 91** (Kahn LI)

1 ποταμῷ [γὰρ] οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ
[καθ᾽ Ἡράκλειτον
3 οὐδὲ θνητῆς οὐσίας δὶς ἅψασθαι κατὰ ἕξιν ‹τῆς αὐτῆς›,
ἀλλ᾽ ὀξύτητι καὶ τάχει μεταβολῆς]
5 σκίδνησι καὶ πάλιν συνάγει,
[μᾶλλον δ᾽ οὐδὲ πάλιν οὐδ᾽ ὕστερον
7 ἀλλ᾽ ἅμα συνίσταται καὶ ἀπολείπει καὶ]
πρόσεισι καὶ ἄπεισιν.

Plútarchos, De E apud Delphos 18, p. 392b (1-8)
Plútarchos, De sera numinis vindicta 559c (z Poseidónia, Fr. 367.21-24 Theiler) (parafráze 1)
Platón, Kratylos 402a = A 6 /1 (1)
Aristotelés, Metaphysica III, 1010a 14 (1)
Viz též A 1, 8 u Diogena Laertia; A 10 /1 (Platón, Sofistes).

3 κατὰ ἕξιν ‹τῆς αὐτῆς› Diels, Kranz; κατὰ ἕξιν rkpp, Kahn.
5 Za podmět těchto slov považuje Diels θεός, „bůh“, analogicky k Epist. Heracl. 6: θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει. ἐπανισοῖ αὐτῶν τὸ ἄμετρον ... συνάγει τὰ σκιδνάμενα ...

[ἢ λήσομεν εἰς τὸν Ἡρακλείτειον ἅπαντα πράγματα ποταμὸν ἐμβαλόντες,
εἰς ὃν οὔ φησι δὶς ἐμβῆναι τῷ πάντα κινεῖν
καὶ ἑτεροιοῦν τὴν φύσιν μεταβάλλουσαν.]
Plútarchos, De sera numinis vindicta 559c (z Poseidónia, Fr. 367.21-24 Theiler)

[πάντα χωρεῖ καὶ οὐδὲν μένει,
καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει ὡς]
1 δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης.
Platón, Kratylos 402a = A 6 /1

1 δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι
Aristotelés, Metaphysica III, p. 1010a 14

[Ἔμπεδον οὐδέν· ἔγωγε ῥόος θολεροῦ ποταμοῖο
Αἰὲν ἐπερχόμενος, ἑσταὸς οὐδὲν ἔχων.]
Grégorios z Nazianzu, De humana natura 27 v: Carmina moralia, 1, 2 14; Migne PG 37, 757, 11 (Hürt to pokládá za inspirované Hérakleitem.)

**B 92** (Kahn XXXIV)

Σίβυλλα δὲ μαινομένῳ στόματι [καθ᾽ Ἡράκλειτον]
ἀγέλαστα
καὶ ἀκαλλώπιστα
καὶ ἀμύριστα
φθεγγομένη χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν.

Plútarchos, De Pythiae oraculis 6, p. 378a
(Cfr. tamtéž 406a; Amatorius 763a.)

**B 93** (Kahn XXXIII)

ὁ ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς,
οὔτε λέγει
οὔτε κρύπτει
ἀλλὰ σημαίνει.

Plútarchos, De Pythiae oraculis 21, p. 404d (1-4)
Stobaios, Anthologium III, 1, 199 (1-4)
Iamblichos, Epistula ad Dexippum; u Stobaia, Anthologium II, 2, 5 (parafráze 2-4)
Iamblichos, De mysteriis III, 15 (parafráze 2-4)

1 [ὥς] ὁ ἄναξ Turnebus, Diels, Kahn, Sieveking; ὥσθ᾽ ἄναξ 2 rkpp.

**B 94** (Kahn XLIV)

ἥλιος γὰρ οὐχ ὑπερβήσεται μέτρα·
εἰ δὲ μή, Ἐρινύες
μιν Δίκης ἐπίκουροι ἐξευρήσουσιν.

Plútarchos, De exilio 11, p. 604a
Parafráze: Plútarchos, De Iside et Osiride, p. 370d

Filodémos, De pietate 6a, p. 70 Gomperz (parafráze 2-3)
Viz B 3a (Papyrus Derveni).

**B 95** (Kahn CVII)

1 ἀμαθίην κρύπτειν ἄμεινον,

Plútarchos, De recta ratione audiendi 43d
Plútarchos, An virtus doceri possit 439d

1 ἀμαθίην [γὰρ] ἄμεινον [ὥς φησιν Ἡράκλειτος] κρύπτειν,
[ἔργον δ᾽ ἐν ἀνέσει καὶ παρ᾽ οἶνον.]
Plútarchos, Quaestiones convivales III, 1, p. 644f

[Κρύπτειν ἀμαθίην κρέσσον ἢ ἐς τὸ μέσον φέρειν.]
Stobaios, Anthologium I, 175 (= zrušený Hérakleitův zlomek B 109 Diels)

**B 96** (Kahn LXXXVIII)

1 νέκυες κοπρίων ἐκβλητότεροι.

Strabón, Geographica XVI, 26, 784
Plútarchos, Quaestiones convivales IV, 4, 3, p. 669a
Kelsos u Órigena, Contra Celsum V, 14, 20
Plótinos, Enneades V, 1 , 2, 42

**B 97** (Kahn LXI)

1 κύνες [γὰρ καὶ] βαΰζουσιν ὃν ἂν μὴ γινώσκωσι.

Plútarchos, An seni respublica gerenda sit 7, p. 787c

1 καὶ βαΰζουσιν rkp, Kahn; καταβαΰζουσιν Wakefield, Diels;
1 ὃν rkp, Kahn; τῶν Wilamowitz; ὧν Diels.

**B 98** (Kahn CXI)

1 αἱ ψυχαὶ ὀσμῶνται καθ᾽ Ἅιδην.

Plútarchos, De facie in orbe lunae 28, p. 943e

**B 99** (Kahn XLVI)

1 ἡλίου μὴ ὄντος ἕνεκα τῶν ἄλλων ἄστρων
εὐφρόνην ἂν ἤγομεν.

Plútarchos, De fortune 98c
Viz též A 1, 10 u Diogena Laertia.

εἰ μὴ ἥλιος (φησίν) ἦν,
εὐφρόνη ἂν ἦν.
Plútarchos, Aquane an ignis sit utilior 7, p. 957a 6

ἡλίου μὴ ὄντος ἕνεκα τῶν ἄλλων ἄστρων
νὺξ ἂν ἦν τὰ πάντα.
Kléméns Alex., Protrepticus 113, 3

**B 100** (Kahn XLII A)

1 [καὶ πείρατα καὶ περιόδους·
ὧν ὁ ἥλιος
3 ἐπιστάτης ὢν καὶ σκοπὸς
ὁρίζειν καὶ βραβεύειν καὶ ἀναδεικνύναι καὶ ἀναφαίνειν μεταβολὰς καὶ]

5 ὥρας αἳ πάντα φέρουσι

[καθ᾽ Ἡράκλειτον,
7 οὐ φαύλων οὐδὲ μικρῶν ἀλλὰ τῶν μεγίστων καὶ κυριωτάτων
τῷ ἡγεμόνι καὶ πρώτῳ θεῷ γίγνεται συνεργός.]

Plútarchos, Platonicae quaestiones 8, 4, p. 1007d

Viz též A 1, 10 u Diogena Laertia.

(Kahn XLII B)
[πάντων ὧν φέρουσιν ὧραι γῆ δὲ φύει.]
Plútarchos, De defectu oraculorum 416a

**B 101** (Kahn XXVIII)

1 ἐδιζησάμην ἐμεωυτόν.

Plútarchos, Adversus Colotem 20, p. 1118c
Iúlianos, Orationes VI, p. 1085a
Suidás, Lexicon, s.v. πόστουπος
Plótinos, Enneades V, 9, 5, 29

1 [αὐτὸν ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ᾽ ἑαυτοῦ.]
Diogenés Laertios, Vitae philosophorum IX 1, 5 = A 1, 5

**B 101a** (Kahn XV)

1 ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες.

Polybios, Historiae XII, 27, 1

**B 102** (Kahn LXVIII)

1 τῷ μὲν θεῷ καλὰ πάντα καὶ ἀγαθὰ καὶ δίκαια,
ἄνθρωποι δὲ ἃ μὲν ἄδικα ὑπειλήφασιν ἃ δὲ δίκαια.

Porfyrios, Quaestionem homericarum ad Iliadem pertinentiam reliquaiae, ad IV, 4 (I, 69, 6 Schr. = Erbse, p. 445)

2 καὶ ἀγαθὰ 1 rkp, Diels, Kahn; vynechávají 3 rkpp.

**B 103** (Kahn XCIX)

1 ξυνὸν [γὰρ] ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας.

Porfyrios, Quaestionem homericarum ad Iliadem pertinentiam reliquaiae, ad XIV, 200, 37 (I, 190 Schr.)

1 Wilamowitz uznává za pravé jen po πέρας; Marcovich vypouští γὰρ a περιφερείας; Kahn chápe vše jen jako referenci.

**B 104** (Kahn LIX)

1 τίς γὰρ αὐτῶν νόος ἢ φρήν;
δήμων ἀοιδοῖσι πείθονται
3 καὶ διδασκάλῳ χρείωνται ὁμίλῳ
οὐκ εἰδοτες ὅτι οἱ ᾿πολλοὶ κακοί, ὀλίγοι δὲ ἀγαθοί᾿.

Proklos, In Platonis Alcibiadem I, 256, p. 525, 21 Cumont (1-4)
Kléméns Alex., Stromata V, 59, 4 (2-4)

2 ἀοιδοῖσιν Kléméns, Bernays (opravuje Prokla podle Klémenta), Diels, Kahn; αἰδοῦς rkp Prokla.
2 πείθονται Diels, Kahn; ἠπιόων τε Proklos; ἠπιόωνται Bollack a Wismann; ἕπεσθαι Klémens.
3 χρείωνται Diels, Kahn; χρειῶν τε Proklos; χρέεσθαι Kléméns.
4 οἱ rkp Prokla; vynechávají Kléméns, Bernays, Wilamowitz.

[αἱ γοῦν ᾿Ιάδες μοῦσαι διαρρήδην λέγουσι]
2 τοὺς μὲν πολλοὺς καὶ δοκησισόφους
3 δήμων ἀοιδοῖσι ἕπεσθαι
καὶ νόμοισι χρέεσθαι,
5 [εἰδότας ὅτι] ᾿πολλοὶ κακοί, ὀλίγοι δὲ ἀγαθοί᾿·
Kléméns Alex., Stromata V, 59, 4

**B 105** (Kahn XXIII)

1 [῾Ηράκλειτος ἐντεῦθεν ἀστρολόγον φησὶ ῞Ομηρον
καὶ ἐν οἷς φησι·

μοῖραν δ᾽ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἄνδρων
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται. ‹Il. VI, 488-9› ]

Scholia in Iliadem ad XVIII, 251 (AT):
(= k verši:)
Ἕκτορι δ᾽ ἦεν ἑταῖρος, ἰῇ δ᾽ ἐν νυκτὶ γένοντο,
ἀλλ᾽ ὃ μὲν ἂρ μύθοισιν, ὃ δ᾽ ἔγχεϊ πολλὸν ἐνίκα·

**B 106** (Kahn XX)

[...Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδῳ,
τὰς μὲν ‹sc. ἡμέρας› ἀγαθὰς ποιουμένῳ τὰς δὲ φαύλας,
ὡς ἀγνοοῦντι]

φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν

Plútarchos, Camillus 19, 1

[unus [inquit] dies par omni est.]
Seneca, Epistulae 12, 7 Reynolds

**B 107** (Kahn XVI)

κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦτα
βαρβάρους ψυχὰς ἐχόντων,

Sextos Empeirikos, Adversus mathematicos VII, 126 = A 16 /1, 126

Κακοὶ γίνονται ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀνθρώπων
ψυχὰς βαρβάρους ἐχόντων.
Stobaios, Anthologium III, 4, 54

**B 108** (Kahn XXVII)

Ὁκόσων λόγους ἤκουσα,
οὐδεὶς ἀφικνέεται ἐς τοῦτο, ὥστε γινώσκειν

3 ὅ τι σοφόν ἐστι πάντων κεχωρισμένον.

Stobaios, Anthologium III, 1, 174, 3-4

2 ἀφικνέεται ed. Stobaia; ἀφικνεῖται edd. Hérakleita.
3 ὅ τι σοφόν rkp, ed. Stobaia, Diels, Bollack a Wismann, Kahn; ὅτι ‹τὸ› σοφὸν Diels-Kranz (jako způsob pochopení, podle Kranze prý není u Hérakleita před σοφὸν člen nutný).

Verze 1 rkp:
3 ἢ γὰρ θεὸς ἢ θηρίον ὅ τι σοφόν ἐστι πάντων κεχωρισμένον.

**(B 109)**
(Jako Hérakleitův zlomek B 109 Diels bývalo dříve uváděno Stobaiovo čtení zlomku B 95 - viz tam.)

**B 110** (Kahn LXVII)

1 ᾿Ανθρώποισι γίνεσθαι ὁκόσα θέλουσιν, οὐκ ἄμεινον.

Stobaios, Anthologium III, 1, 176

**B 111** (Kahn LXVII)

1 Νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν,
λιμὸς κόρον,
3 κάματος ἀνάπαυσιν.

Stobaios, Anthologium III, 1, 177

1 ὑγιείην 1 rkp; ὑγέιην 2 rkpp; ὑγιείαν 2 rkpp.

**B 112** (Kahn XXXII)

1 σωφρονεῖν·
ἀρετὴ μεγίστη καὶ σοφίη
3 ἀληθέα λέγειν καὶ ποιεῖν

κατὰ φύσιν ἐπαΐοντας.

Stobaios, Anthologium III, 1, 178

1 σωφρονεῖν rkp, Gomperz, Kranz, Kahn; τὸ φρονεῖν Diels.

**B 113** (Kahn XXXI)

Ξυνόν ἐστι πᾶσι τὸ φρονέειν.

Stobaios, Anthologium III, 1, 179

**B 114** (Kahn XXX)

ξὺν νόῳ λέγοντας
ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων,
ὅκωσπερ νόμῳ πόλις καὶ πολὺ ἰσχυροτέρως.
τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου·
κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει
καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται.

Stobaios, Anthologium I, 1, 179

3 καὶ πολὺ Schleiermacher, Diels, Kahn, ed. Stobaia; καὶ πόλις rkp.

6 (Po περιγίνεται navrhuje Diels chápat jako předmět ‹πάντων› , prý podle imitace Hérakleita u Plútarcha, De Iside et Osiride 45, 369a.)

**B 114a** (*Neoficiální označení, za Hérakleitův považuje zlomek Janko*)

[χρῆσαι δὲ καὶ ἀρκέσαι ταὐτὸ ‹δύ›ναται.
σκέψασθαι δὲ χρὴ ἐφ' ὧ κεῖτα‹ι τὸ› ἀρκέσαι
καὶ τὸ χρῆσαι.]

χρᾶν τὸνδε τὸν θεὸν νομίζοντ‹ες ἐρ›χονται
πευσόμενοι ἅσσα ποῶσι.

Papyrus Derveni, col. 11.5-9

**B 115** (Kahn CI)

1 ψυχῆς ἐστὶ λόγος
ἑαυτὸν αὔξων.

Stobaios, Anthologium III, 1, 180 (Stobaios však výrok připisuje Sókratovi.)

Překladová verze:
1 K duši patří řeč,
která sama sebou roste.

**B 116** (Kahn XXIX)

1 ᾿Ανθρώποισι πᾶσι μέτεστι γινώσκειν ἑωυτοὺς καὶ σωφρονεῖν.

Stobaios, Anthologium V, 6

1 σωφρονεῖν rkp, Kranz, Kahn; φρονεῖν nebo εὖ φρονεῖν ‹ἀλλ᾿ οὐ ποιῦσι› Diels.

**B 117** (Kahn CVI)

1 ᾿Ανὴρ ὁκόταν μεθυσθῇ,
ἄγεται ὑπὸ παιδὸς ἀνήβου
3 σφαλλόμενος,
οὐκ ἐπαΐων ὅκη βαίνει,
5 ὑγρὴν τὴν ψυχὴν ἔχων.

Stobaios, Anthologium III, 5, 7

**B 118** (Kahn CIX)

1 αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη.

Stobaios, Anthologium III, 5, 8
Stobaios, Anthologium III, 17, 42
Filón Alex., De providentia II, 67 u Eusebia, Praeparatio evangelica VIII, 14

Plútarchos, De esu carnium 995e
Plútarchos, De defectu oraculorum 432f
Plútarchos, Vita Romuli 28, 9
Kléméns Alex., Paedagogus II, 29, 3
Galénos, Scripta minora IV, 786 Kühn
Porfyrios, De anthro nympharum 11
Hermiás, In Platonis Phaedrum 27, 28 Couvreur
Aristeidés Quintilianus, De musica II, 17, 85

1 αὐγὴ ξηρὴ ψυχὴ Stobaios (2 místa), Filón, Plútarchos, Galénos, Hermiás, Porfyrios, Aristeidés Quintillianus, Kahn; αὐγὴ δὲ ψυχὴ ξερὰ Kléméns; αὔη ψυχή Trincavelli (podle 1 rkp Stobaia III, 5, 8).
1 σοφωτάτη většina autorů; vynechává Plútarchos (Vita Romuli 28, 9; De defectu orac. 432f).
1 καὶ ἀρίστη většina autorů; vynechávají Plútarchos (432f), Hermiás, Aristeidés Quintilianus, Porfyrios, Galénos.

Ficino (Theologia platonica):
αυγη ξηρη, ψυχη σοφωτατη
[id est] lux sicca, anima sapientissima.

[ὑγρὸν δὲ ἐφέλκεται ‹sc. ἡ ψυχή›, ὅταν συνεχῶς μελετήσῃ ὁμιλεῖν τῇ φύσει, ἧς ἐν ὑγρῷ τὸ ἔργον καὶ ὑπόγειον μᾶλλον. ὅταν δὲ μελετήσῃ ἀφίστασθαι φύσεως, αὐγὴ ξηρὰ γίνεται, ἄσκιος καὶ ἀνέφελος· ὑγρότης γὰρ ἐν ἀέρι νέφος συνίστησι, ξηρότης δὲ ἀπὸ τῆς ἀτμίδος αὐγὴν ξηρὰν ὑφίστησιν.]
Porfyrios, Sententiae ad intelligibilia ducentes 29, 38-43

**B 119** (Kahn CXIV)

1 ἦθος ἀνθρώπῳ δαίμων.

Plútarchos, Platonicae quaestiones 999e
Stobaios, Anthologium IV, 40, 23
Alexandros z Afrodisiady, De fato 6, p. 170, 16 Bruns

1 ἀνθρώπῳ Plútarchos, Stobaios; ἀνθρώπων Alexandros.

**B 120** (Kahn XLV)

[βελτίων δ᾽ Ἡράκλειτος καὶ ὁμηρικώτερος,
ὁμοίως ἀντὶ τοῦ ἀρκτικοῦ τὴν ἄρκτον ὀνομάζων]
ἠοῦς καὶ ἑσπέρης τέρματα
ἡ ἄρκτος καὶ ἀντίον τῆς ἄρκτου οὖρος αἰθρίου Διός.

Strabón, Geographica I, 1, 6, p. 3

3 τέρματα většina rkpp; vynechává 1 rkp.

**B 121** (Kahn LXIV)

[καθάπτεται δὲ καὶ τῶν Ἐφεσίων
ἐπὶ τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδωρον ἐν οἷς φησιν,]

ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀποθανεῖν πᾶσι
καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρμόδωρον
‹ἄνδρα› ἑωυτῶν ὀνήιστον ἐξέβαλον λέγοντες,
ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω·
εἰ δέ τις τοιοῦτος, ἄλλῃ τε καὶ μετ᾽ ἄλλων.

Diogenés Laertios, Vitae philosophorum IX, 2 = A 1, 2

3 ἀποθανεῖν rkp; ἀπάγξασθαι Long, Kranz (podle Strabóna).
5 ‹ἄνδρα› ἑωυτῶν Long, Kranz (podle Strabóna); ἑωυτῶν rkp.

[Ἡράκλειτός τε ὁ σκοτεινὸς καλούμενος καὶ Ἑρμόδωρος,
περὶ οὗ ὁ αὐτὸς οὗτός φησιν]
ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι,
οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον, φάντες
ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω,
εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ᾽ ἄλλων.
[δοκεῖ δ᾽ οὗτος ὁ ἀνὴρ νόμους τινὰς Ῥωμαίοις συγγράψαι.]

Strabón, Geographica XIV, 1, 25, p. 642 = A 3a (1-7)
Musonius Rufus, Dissertationum a Lucio dig. IX, 97 = fr. 9, p. 47 Hense (3)

Est apud Heraclitum physicum de principe Ephesiorum Hermodoro;
universos ait Ephesios esse morte multandos,

3 quod, cum civitate expellerent Hermodorum, ita locuti sint:
'nemo de nobis unus excellat;
5 sin quis extiterit, alio in loco et apud alios sit.'
an hoc non ita fit omni in populo?

Cicero, Tusculanea V, 105 (1-6); viz A 3a /2

**B 122** (Kahn Appendix I)

1 [῾Ηράκλειτος ... ἀγχιβασίην ... ἀμφισβητεῖν]

Na základě těchto lexikografických referencí:

[᾽Αμφισβατεῖν· ἔνιοι τὸ ἀμφισβητεῖν, Ἴωνες δὲ καὶ ᾽Αγχιβατεῖν.
καὶ ᾽Αγχιβασίην ῾Ηράκλειτος.]
[[᾽Αμφισβητεῖν· μὴ συμφωνεῖν, ἀλλ᾽ οἷον χωρὶς βαίνειν καὶ ἀμφιβάλλειν.]]

Suidas, Lexicon, s.v. ᾽Αμφισβατεῖν

᾽Αγχιβασίην 5 rkpp; ᾽Αγχισβασίην 2 rkpp a také rkpp hesla Αγχιβατεῖν.

[᾽Αγχιβατεῖν· Ἴωνες τὸ ἀμφισβητεῖν. καὶ ᾽Αγχισβασίην ῾Ηράκλειτος.]

Suidás, Lexicon, s.v. ᾽Αγχιβατεῖν

[[ἀγχιβάτης· ὁ πλησίον βαίνων]]

Hésychios, Lexicon, s.v. ἀγχιβάτης

**B 123** (Kahn X)

1 φύσις [δὲ καθ᾽ ῾Ηράκλειτον] κρύπτεσθαι φιλεῖ.

Themistios, Orationes 5, Hypaticus ad autocratorem Iovianum, p. 69 Harduin

[φύσεως τῆς κρύπτεσθαι φιλούσης]

Filón Alex., De fuga et inventione 179
Filón Alex., De mutatione nominum 60, 6

ἡ φύσις κρύπτεσθαι φιλεῖ [καθ᾽ ῾Ηράκλειτον]·

Porfyrios u Prokla, In Platonis rem publicam commentarii II, p. 107, 6 Kroll

φιλεῖ [γὰρ] ἡ φύσις κρύπτεσθαι
Iúlianos, Orationes 7, 216 = Ad Heracleionem Cynicum de natura 11

**B 124** (Kahn CXXV)

1 ὥσπερ σάρμα εἰκῆ κεχυμένων ὁ κάλλιστος [φησὶν Ἡράκλειτος], [ὁ] κόσμος.

Theofrastos, Metaphysica 15, p. 7a 14 Usener (p. 16 Ross & Fobes)

1 ὥσπερ rkp, Diels; vynechává Kahn, Bollack.
1 σάρμα Diels, Kahn; σὰρξ rkp, Gomperz; σάρον Bernays; σωρὸς Usener; vypouští Bollack.
1 κεχυμένων rkpp, Diels, Kahn; κεχυμένον Usener.
1 κόσμος Wimmer, Diels, Kahn; ὁ κόσμος rkp.

**B 125** (Kahn LXXVII)

1 καὶ ὁ κυκεὼν διίσταται
κινούμενος.

Theofrastos, fr. 8, sect. 9 Wimmer (De vertigine 9 - 10)

2 κινούμενος rkp, Bollack a Wismann; ‹μὴ› κινούμενος Bernays, Wimmer, Diels (podle Alexandra Afrodis.), Kahn.

1 ὁ δὲ κυκλεύων, [ὥσπερ καὶ Ἡράκλειτός φησιν,]
ἐὰν μή τις ταράττῃ, ἵσταται.
Alexandros z Afrodisiady, Problemata IV, 42 Usener

1 κυκλεύων rkp; κυκεὼν Usener.
2 ἵσταται rkp, Bollack a Wismann; διίσταται Usener.

**B 125a** (Kahn Appendix I)

1 μὴ ἐπιλίποι ὑμᾶς πλοῦτος, [ἔφη,] Ἐφέσιοι,

ἵν᾽ ἐξελέγχοισθε πονηρευόμενοι.

Heracliti Epistulae 8, 3
Tzetzés, Commentarius in Aristophanis Plutonem 90a
Viz Platón, Kratylos 401 c.

1 ὑμᾶς Heracliti Epistulae; ὑμῖν Tzetzés.

**B 126** (Kahn XLIX)

τὰ ψυχρὰ θέρεται,
θερμὸν ψύχεται,
ὑγρὸν αὐαίνεται,
καρφαλέον νοτίζεται.

Tzetzés, Scholia ad exeg. in Iliad., p. 126 Herman (1-4)
Heracliti Epistulae 5 (2-3)
Viz C 1,17; C 1,21; C 1,22 = Hippokratés, De victu I (De diaeta).

**B 126a**

[... πλανῆται ζ. αὐτῆς σελήνης φάσεις ζ,
δὶς μηνοειδής, ‹δὶς› διχότομος, δὶς ἀμφίκυρτος, ἅπαξ πανσέληνος.
ἄρκτος ἑπτάστερος· Ἡράκλειτος·

κατὰ λόγον δὲ ὡρέων
συμβάλλεται ἑβδομὰς κατὰ σελήνην,
διαιρεῖται δὲ κατὰ τοὺς ἄρκτους
ἀθανάτου μνήμης σημείῳ.

πλειὰς ἑπτάστερος.
αἱ ἰσημερίαι δι᾽ ἑπτὰ μηνῶν καὶ αἱ τροπαί.]

Anatolios, De decade, p. 12 Heiberg

4 ὡρέων Heiberg, Diels, Marcovich; ὡρίων rkp, Bollack a Wismann.
5 ἑβδομάσι rkp; ἑβδομάς Diels.
6 τὰς ἄρκτους Diels; τοὺς ἄρκτους rkp.

3 [septemtrio stellarum septem.
Heraclitus rationem
5 annonae colligendae ad septem lunae transfert mutationes.]
Laurentius Valla, De expetendis et fugiendis rebus III, 17

Viz tyto kontexty:

Alexandros o pýthagorejcích:
δοκεῖ γὰρ τὰ φυσικὰ τοὺς τελείους καιροὺς ἴσχειν καὶ γενέσεως καὶ τελειώσεως κατὰ ἑβδομάδας, ὡς ἐπ᾿ ἀνθρώπου. καὶ γὰρ τίκτεται ἑπταμηνιαῖα, καὶ ὀδοντοφυεῖ τοσούτων μηνῶν, καὶ ἡβάσκει περὶ τὴν δευτέραν ἑβδομάδα, καὶ γενειᾷ περὶ τὴν τρίτην. καὶ τὸν ἥλιον δέ, ἐπεὶ αὐτὸς αἴτιος εἶναι τῶν καιρῶν, φησί, δοκεῖ, ἐνταῦθά φασιν ἱδρῦσθαι καθ᾿ ὃ ὁ ἕβδομος ἀριθμός ἐστιν, ὃν καιρὸν λέγουσιν·
Alexandros, In Aristotelis De caelo commentaria, p. 38, 16 n.

᾿Ωρίων· σύστημα κδ ἀστέρων, ὅν τινες ὀνομάζουσι Βοώτην. οὓς οἱ περὶ ταῦτα δεινοὶ καταμερίζουσι καί φασι, τοὺς μὲν τέσσαρας εἶναι τρίτου μεγέθους, ἐννέα δὲ ἐν αὐτοῖς τετάρτου μεγέθους. καὶ τοὺς ἄλλους ἐννέα τοῦ πέμπτου. κεῖται δὲ τοῦτο τὸ τῶν ἀστέρων ἄθροισμα ἐν τῷ βορείῳ μέρει, ὅπερ καὶ ὑπὸ τῆς γραφῆς ὡς ἓν σῶμα ᾿Ωρίων ὠνόμασται. ἄστρα δὲ ταῦτα λέγουσι καὶ οὐχὶ ἀστέρας, ὡς τῶν μὲν ἄστρων πλήθους σύστασιν ἐμφαινόντων, ἀστέρος δὲ τοῦ καθέκαστον λεγομένου. Καὶ τοῦ ᾿Αρκτούρου μέμνηται ἡ γραφή, ὃν μεταξὺ τῶν μηρῶν τοῦ ᾿Ωρίωνος ὁρῶμεν κείμενον ἀστέρα ὑπόκιῤῥον. Παραπλησίως δὲ καὶ ἡ Πλειὰς ὀνομάζεται, ὑπὸ τῆς γραφῆς· ὡς καὶ ὑπὸ τῶν ἔξωθεν δῆλον, ὅτι παρ᾿ ῾Εβραίων πολυπραγμονησάντων τὰ ἀπόῤῥητα. ἑνῶνται δὲ καὶ ἐν τῇ Πλειάδι ἑπτὰ ἀστέρες συνεχεῖς, καὶ καταπεπυκνωμένοι πρὸς ἀλλήλους, οὐχὶ δὲ ἕξ, ὅπερ τινὲς οἴονται.
Hésychios, Lexicon, s.v. Órión

ὁ μεταξὺ τῶν μηρῶν ὁ καλούμενος ᾿Αρκτοῦρος ὑπόκιρρος.
Ptolemaios, Syntaxis mathematica, I, 2, 50-51 Heiberg

**B 126b**

1 [᾿Επίχαρμος ὁ ‹ὁμιλή›σας τοῖς Πυθα‹γορείοις›
ἄλλα τ‹έ› τινα ἐ‹πινενόη›κεν δ‹ειν›ὰ τ‹όν τε περὶ το›ῦ αὐξο‹μένου λόγον›.
3 ἐφοδ‹εύει δὲ κατὰ τὸ› ῾Ηρα‹κλείτου›]

ἄλλως ἄ‹λλο ἀεὶ αὔξε›ται
πρὸς ὃ ‹ἂν ᾖ ἐλλι›πές.

[εἰ οὖν ‹μηδεὶς› ‹παύε›ται ‹ῥέων καὶ ἀλ›λ‹άτ›των ‹τὸ εἶδος,
αἱ› οὐσίαι ἄλλ‹οτε ἄλλαι› γίνονται ‹κατὰ συν›εχῆ ῥύσιν.]

Anonym In Platonem Theaet. 71, 12 (ad p. 152e)
Viz též A 1, 11.

**B 127**

[ὁ αὐτὸς πρὸς Αἰγυπτίους ἔφη·
εἰ θεοί εἰσιν, ἵνα τί θρηνεῖτε αὐτούς;
εἰ δὲ θρηνεῖτε αὐτούς, μηκέτι τούτους ἡγεῖσθε θεούς.]

Aristokritos, Theosophia 69
Epifanios ze Salamíny, Ancoratus 104, 1

Oběžný motiv připisovaný různým mudrcům v různých situacích, viz např. Kléméns Alex., Protrepticus 24, 3 bez uvedení jména mudrce:
... τοῖς Αἰγυπτίοις, εἰ θεοὺς νομίζετε, μὴ θρηνεῖτε αὐτοὺς μηδὲ κόπτεσθε· εἰ δὲ πενθεῖτε αὐτούς, μηκέτι τούτους ἡγεῖσθε εἶναι θεούς.

(Podobně Xenofanés A 13 = Aristotelés, Rhetorica 1400b 5. Viz podobně o Xenofanovi Plútarchos, De Iside et Osiride 379c; De superstitione 171e; Amatorius 363c.)

**B 128**

[ὅτι ὁ Ἡράκλειτος ὁρῶν τοὺς Ἕλληνας
γέρα τοῖς δαίμοσιν ἀπονέμοντας εἶπεν·]

δαιμόνων ἀγάλμασιν εὔχονται
οὐκ ἀκούουσιν, ὥσπερ ἀκούοιεν,
οὐκ ἀποδιδοῦσιν, ὥσπερ οὐκ ἀπαιτοῖεν.

Aristokritos, Theosophia 74
Acta Apollonii 19, p. 106 Klette

2 ἀκούοιεν Aristokritos, Diels; ἀκούωμεν Acta Apollonii.
3 ἀπαιτοῖεν Aristokritos, Diels; ἀπαιτοῦσιν Acta Apollonii.

**B 129** (Kahn XXV)

1 Πυθαγόρης Μνησάρχου
ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων
3 καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς
ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθείην, κακοτεχνίην.

Diogenés Laertios, Vitae philosophorum VIII, 6

1 Πυθαγόρης 1 rkp, Diels, Kahn; Πυθαγόρας 1 rkp; Πυθαγόροις 1 rkp.
2 ἱστορίην ἤσκησεν 2 rkp, Diels, Kahn; ἱστορεῖν ἴσχυσεν 1 rkp.
4 ἐποιήσατο 2 rkp, Diels, Kahn; ἐποίησεν 1 rkp.

**B 130**

1 [Non convenit ridiculum esse ita ut ridendus ipse videaris.]

Gnomologium Monac. lat. I, 19 E.Woelfflin, Caecilius Balbus, Basileae 1855, p. 19

**B 131**

[ὁ δέ Ἡράκλειτος ἔλεγε]
1 τὴν οἴησιν προκοπῆς ἐγκοπήν.

Gnomologium Parisinum (Suppl. 134), Nr. 209, p. 152 Sternbach
(Stobaios III, 4, 87 připisuje podobný výrok Biónovi.)

**B 132**

1 τιμαὶ θεοὺς καὶ ἀνθρώπους καταδουλοῦνται.

Gnomologium Vaticanum 743, Nr. 312, p. 249 Sternbach

**B 133**

ἄνθρωποι κακοὶ ἀληθινῶν ἀντίδικοι.

Gnomologium Vaticanum 743, Nr. 313, p. 249 Sternbach

**B 134**

[Ἡράκλειτος τὴν παιδείαν ἕτερον ἥλιον εἶναι τοῖς πεπαδευμένοις ἔλεγεν.]

Gnomologium Vaticanum 743, Nr. 314, p. 249 Sternbach

**B 135**

[ [ὁ αὐτὸς] συντομωτάτην ὁδὸν [ἔλεγεν] εἰς εὐδοξίαν τὸ γενέσθαι ἀγαθόν.]

Gnomologium Vaticanum 743, Nr. 315, p. 249 Sternbach

**B 136**

[Ἡρακλείτου·]
ψυχαὶ ἀρηίφατοι καθερώτεραι ἢ ἐνὶ νούσοις.

Scholia ad Arriani Epicteti dissertationes, p. LXXI Schenkl
Oracula Chalcidica (Iúlianos Theúrgos), orac. 159

1 ἐνὶ Scholia, Diels; ἐπὶ Oracula.

**B 137**

[Ἡράκλειτος οὐσίαν εἱμαρμένης ἀπεφαίνετο λόγον
τὸν διὰ οὐσίας τοῦ παντὸς διήκοντα.
αὕτη δ᾽ ἐστὶ τὸ αἰθέριον σῶμα,
σπέρμα τῆς τοῦ παντὸς γενέσεως καὶ περιόδου μέτρον τεταγμένης.]

[πάντα δὲ καθ᾽ εἱμαρμένην, τὴν δ᾽ αὐτὴν ὑπάρχειν ἀνάγκην·

γράφει γοῦν·]

7 ἔστι γὰρ εἱμαρμένα πάντως.

Aetios u Stobaia, Anthologium I, 5, 15, p. 78 (1-7)
- Placita phil. I, 28, 1 = De placitis reliq., Stobaei exc., p. 323, 1-6 Diels = A 8 /3 (1-4)
- Placita phil. I, 27, 1 = De placitis reliq., Stobaei exc., p. 322, 2-7 Diels = A 8 /2 (5)
Diogenés Laertios, Vitae philosophorum IX, 1, 7 = A 1, 7 (7)

7 εἱμαρμένα Stobaios 1 rkp, Kahn; εἱμαρμένη Stobaios 1 rkp, Aetios ed., Diogenés Laertios, Diels, Bollack.

**B 138**

1 [Ποίην τις βιότοιο τάμῃ τρίβον;]

Codex Parisinus 1630, f. 191r
(Anthologia Palatina IX, 359 = Poseidippos, Epigram 21, p. 79 Schott = Stobaios IV, 34, 57)

1 τάμῃ rkp Paris., Bollack a Wismann; τάμοι ed. Antholog. Palat., Diels, Kranz.

**B 139**

1 [Ἡρακλείτου φιλοσόφου.]
[ἐπειδὴ φασί τινες εἰς ἀρχὰς κεῖσθαι τὰ ἄστρα ...
3 μέχρις οὗ ἐθέλει ὁ ποιήσας αὐτόν.]

Catal. codd. astrolog. graec. VII, 106
Viz též A 11 /3 u Aetia.